Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

5/6/11. 2/6/0
16. E. 7.
Eduard Fraenkel
1942



Munificentia
Roberti Mason, S.T.P.

~~16. C. 11~~
CANCELLED FROM THE LIBRARY
QUEEN'S COLLEGE OXFORD

ASHMOLEAN LIBRARY
OXFORD
—
Ex Libris
EDUARD FRAENKEL
Corpus Christi Professor of Latin, 1935–53
—
1970

N.i.8h NC

ÆSCHYLI

TRAGŒDIÆ QUÆ SUPERSUNT

DEPERDITARUM FABULARUM FRAGMENTA

ET

SCHOLIA GRÆCA

EX EDITIONE

THOMÆ STANLEII

CUM VERSIONE LATINA AB IPSO EMENDATA
ET COMMENTARIO LONGE QUAM ANTEA FUIT AUCTIORI
EX MANUSCRIPTIS EJUS NUNC DEMUM EDITO.

ACCEDUNT

VARIÆ LECTIONES

ET

NOTÆ VV. DD. CRITICÆ AC PHILOLOGICÆ

QUIBUS SUAS PASSIM INTERTEXUIT

SAMUEL BUTLER, S. T. P.

REGIÆ SCHOLÆ SALOPIENSIS ARCHIDIDASCALUS

COLL. DIV. IOANN. APUD CANTABR. NUPER SOCIUS.

COLL. REG. OXON. BIBL.

TOM. VII.

CANTABRIGIÆ.

TYPIS AC SUMPTIBUS ACADEMICIS.

VENEUNT LONDINI APUD EVANS, ET CANTABRIGIÆ APUD J. DEIGHTON.

M.DCCC.XVI.

Vol. VII. & VIII. *price* £1. 6*s.* *in boards.*

CL. SALMASIUS DE HELLENISTICA,

EPIST. DEDIC. p. 37.

Quis Æschylum possit affirmare Græce nunc scienti magis patere explicabilem, quam Evangelia aut Epistolas Apostolicas? Unus ejus Agamemnon obscuritate superat quantum est librorum sacrorum cum suis Hebraismis et Syriasmis, et tota Hellenisticæ suppellectile, vel farragine.

ASHMOLEAN OXFORD MUSEUM

W. 71/19

ΑΙΣΧΥΛΟΥ

ΤΡΑΓΩΙΔΙΑ

ΠΕΡΣΑΙ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΙΔΙΑΣ

Η ΕΠΙΓΡΑΦΕΤΑΙ

Π Ε Ρ Σ Α Ι.

ΓΛΑΥΚΟΣ ἐν τοῖς περὶ Αἰσχύλȣ μύθων, ἐκ τῶν Φοινισσῶν φησὶ Φρυνίχȣ τȣ̀ς Πέρσας παραπεποιῆσθαι. Ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τȣ̃ δράματος ταύτην,

Τάδ' ἐςὶ Περσῶν τῶν πάλαι βεβηκότων.

Πλὴν ἐκεῖ εὐνȣ̃χός ἐςιν ἀγγέλλων ἐν ἀρχῇ τὴν τȣ̃ Ξέρξȣ ἧτλαν, ςρωννύς τε θρόνȣς τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις. Ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. Τῶν δὲ χορῶν τὰ μέν ἐςι παροδικὰ, ὡς ὅτε λέγει δι' ἣν αἰτίαν πάρεςιν, ὡς τὸ,

Τύριον οἶδμα λιπȣ̃σα.

Τὰ δὲ ςάσιμα· ὡς ὅτε ἵςαται, καὶ ἄρχεται τῆς συμφορᾶς τȣ̃ δράματος. Τὰ δὲ κομματικὰ, ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται. Καὶ ἔςιν ἡ μὲν σκηνὴ τȣ̃ δράματος παρὰ τῷ τάφῳ Δαρείȣ· ἡ δὲ ὑπόθεσις, Ξέρξης ςρατευσάμενος κατὰ τῆς Ἑλλάδος μετὰ δυνάμεως πολλῆς, ἵππον μὲν ἄμετρον ἐπαγόμενος, ναῦς δὲ χιλίας διακοσίας ἑπτὰ, ἢ καὶ δεκατέσσαρας· καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθεὶς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, καὶ διὰ Θεσσαλίας φεύγων, διεπεραιώθη εἰς τὴν Ἀσίαν. Ἰςέον δὲ ὅτι οἱ Ἕλληνες τριακοσίας μόνον νῆας εἶχον. Πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείȣ ἐδυςύχησε περὶ Μαραθῶνα· δευτέρα, ἐπὶ Ξέρξȣ, περὶ Σαλαμῖνα καὶ Πλαταιὰς, τȣ̃ Θεμιςοκλέȣς ςρατηγȣ̃ ὄντος τότε τῶν Ἀθηναίων καὶ ῥήτορος, καὶ νῆας εἰπόντος ποιῆσαι καὶ ἀντιτάξασθαι πρὸς τὸν Ξέρξην. Οὗ καὶ γενομένȣ, περιεγένοντο αὐτȣ̃. Ὁ Ἀπόλλων γὰρ τοῖς Ἀθηναίοις μαντευομένοις πῶς τῶν Περσῶν περιγενήσονται, εἶπε τείχη ξύλινα κατασκευάσαι, καὶ ȣ̔́τω περιγενέσθαι αὐτῶν. Καὶ οἱ μὲν τείχη ἔλεγον

ποιῆσαι εἰς τὴν πόλιν ξύλινα ἀντὶ τῶν λιθίνων· ὁ δὲ Θεμιστοκλῆς ἐκ ἔτως, ἀλλὰ νῆας εἶπε ποιῆσαι, αἳ πολλάκις διὰ τῶν οἰκείων τειχῶν σώζεσι τὲς ἀνθρώπες. Ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ ποτνιεῖ, Προμηθεῖ. Τέτε τε Ξέρξε πατὴρ μὲν ἦν Δαρεῖος ὁ Περσῶν βασιλεὺς, μήτηρ δὲ Ἄτοσσα. Γίνωσκε δὲ ὅτι Δαρεῖοι τρεῖς εἰσι· πρῶτος δὲ τέτων υἱὸς Ὑςάσπε, προκριθεὶς ὑπὸ τῶν Περσῶν, καὶ βασιλεύσας αὐτῶν, ὃς ἦν καὶ Ξέρξε πατὴρ τε ςρατεύσαντος ἐπὶ τὲς Ἕλληνας· δεύτερος δὲ ὁ Ἀρταξέρξε πατὴρ, Σύρος προσαγορευθεὶς, ἢ νόθος. Ἔσχατος δὲ Δαρεῖος ὁ ὑπ᾽ Ἀλεξάνδρε τε Φιλίππε καταλυθείς. Τινὲς δὲ καὶ τέταρτον Δαρεῖον λέγεσιν εἶναι.

Τὰ τε δράματος πρόσωπα.

ΧΟΡΟΣ γερόντων.

ΑΤΟΣΣΑ.

ΑΓΓΕΛΟΣ.

ΕΙΔΩΛΟΝ Δαρείε.

ΞΕΡΞΗΣ.

Προλογίζει δὲ ὁ Χορός.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΙΔΙΑ

ΠΕΡΣΑΙ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Α΄. ΧΟ. ΤΑ΄ΔΕ μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ᾽ ἐς αἶαν πιστὰ καλεῖται,
Καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
Ἑδράνων φύλακες, κατὰ πρεσβείαν
Οὓς αὐτὸς ἄναξ Ξέρξης· βασιλεὺς
Δαρειογενὴς
Εἵλετο χώρας ἐφορεύειν.
Ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
Καὶ πολυχρύσου στρατιᾶς ἤδη
Κακόμαντις ἄγαν ὀρσολοπεῖται
Θυμὸς ἔσωθεν.
Πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς
Οἴχωκε· νέον δ᾽ ἄνδρα βαΰζει.
Κ᾽ οὔτε τὶς ἄγγελος, οὔτε τὶς ἱππεὺς
Ἄστυ τὸ Περσῶν ἀφικνεῖται·
Οἵτε τὸ Σούσων, ἠδ᾽ Ἐκβατάνων,
Καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος
Προλιπόντες ἔβαν, οἱ μὲν ἐφ᾽ ἵππων,
Οἱ δ᾽ ἐπὶ ναῶν, πεζοί τε βάδην
Πολέμου στίφος παρέχοντες·
Οἷος Ἀμίστρης, ἠδ᾽ Ἀρταφρένης,
Καὶ Μεγαβάζης, ἠδ᾽ Ἀστάπης,
Ταγοὶ Περσῶν,
Βασιλῆς βασιλέως ὕποχοι μεγάλου
Σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
Τοξοδάμαντές τ᾽ ἠδ᾽ ἱπποβάται,
Φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην

Ψυχῆς ἐν τλήμονι δόξῃ.
Ἀρτεμβάρης θ' ἱππιοχάρμης,
Καὶ Μασίστρης, ὅ, τε τοξοδάμας
Ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης
Θ', ἵππων τ' ἐλατὴρ Σωσθάνης.
Ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων
Νεῖλος ἔπεμψε· Σουσισκάνης,
Πηγασταγὼν Αἰγυπτιογενὴς,
Ὅ, τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
Μέγας Ἀρσάμης, τάς τ' ὠγυγίας
Θήβας ἐφέπων Ἀριόμαρδος,
Καὶ ἑλειοβάται ναῶν ἐρέται
Δεινοὶ, πλῆθός τ' ἀνάριθμοι.
Ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
Ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς
Κατέχουσιν ἔθνος, τοὺς Μητραγαθὴς
Ἀρκεύς τ' ἀγαθὸς βασιλῆς δίοποι
Καὶ πολύχρυσοι Σάρδεις ἐπόχους
Πολλοῖς ἅρμασιν ἐξορμῶσι,
Δίῤῥυμά τε καὶ τρίῤῥυμα τέλη,
Φοβερὰν ὄψιν προσιδέσθαι.
Στεῦνται δ' ἱεροῦ Τμώλου πελάται
Ζυγὸν ἀμφιβαλεῖν δούλειον Ἑλλάδι,
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες
Καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν
Δ' ἡ πολύχρυσος πάμμικτον ὄχλον
Πέμπει σύρδην, ναῶν τ' ἐπόχους,
Καὶ τοξουλκῷ λήματι πιστούς·
Τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται,
Δειναῖς βασιλέως ὑποπομπαῖς.
Τοιόνδ' ἄνθος Περσίδος αἴας
Οἴχεται ἀνδρῶν,

Οὓς πέρι πᾶσα χθὼν Ἀσιῆτις
Θρέψασα, πόθῳ στένεται μαλερῷ·
Τοκέες τ᾽ ἄλοχοί θ᾽ ἡμερόλεγδον
Τείνοντα χρόνον τρομέονται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ.

Πεπέρακε μὲν ὁ περσέπτολις ἤδη
Βασίλειος στρατὸς εἰς ἀν-
τίπορον γείτονα χώραν,
Λινοδέσμῳ σχεδίᾳ
Πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλης,
Πολύγομφον ὅδισμα
Ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.

ΑΝΤΙΣΤΡΟΦΗ.

Πολυάνδρου δ᾽ Ἀσίας θούριος ἄρχων
Ἐπὶ πᾶσαν χθόνα ποιμα-
νόριον θεῖον ἐλαύνει
Διχόθεν, πεζονόμοις,
Ἔκ τε θαλάσσης,
Ὀχυροῖσι πεποιθὼς
Στυφέλοις ἐφέταις, χρυ-
σογόνου γενεᾶς ἰσόθεος φώς.

ΑΝΑΠΑΙΣΤΟΙ.

Κυάνεον δ᾽ ὄμμασι λεύσσων,
Φονίου δέργμα δράκοντος,
Πολύχειρ, καὶ πολυναύτης,

Σύριόν θ' ἅρμα διώκων,
Ἐπάγει δουρικλύτοις ἀν-
δράσι τοξόδαμνον Ἄρην.
Δόκιμος δ' ἔτις ὑποςὰς
Μεγάλῳ ῥεύματι φωτῶν,
Ἐχυροῖς ἕρκεσιν εἴργειν
Ἄμαχον κῦμα θαλάσσης·
Ἀπρόσοιςος γὰρ ὁ Περσῶν
Στρατὸς, ἀλκίφρων τὲ λεώς.
„ Δολόμητιν δ' ἀπάταν θεοῦ
„ Τίς ἀνὴρ θνατὸς ἀλύξει;
„ Τίς ὁ κραιπνῷ ποδὶ πηδή-
„ ματος εὐπετέος ἀναΐσσων;
„ Φιλόφρων γὰρ σαίνου-
„ σα τὸ πρῶτον, παράγει
„ Βροτὸν εἰς ἀρκύςατα,
„ Τόθεν οὐκ ἔςιν ὑπὲρ θνα-
„ τὸν ἀλύξαντα φυγεῖν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ α'.

Θεόθεν γὰρ κατὰ μοῖρ' ἐ-
κράτησε τὸ παλαι-
ὸν, ἐπέσκηψε δὲ Πέρσαις
Πολέμους πυργοδαΐκτους
Διέπειν, ἱππιοχάρμας τὲ κλόνους,
Πόλεων τὲ ἀνςάσεις.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Ἔμαθον δ' εὐρυπόροιο
Θαλάσσης πολιαι-

νομένης ϖνεύματι λάβρῳ
Ἐσορᾷν ϖόντιον ἄλσος,
Πίσυνοι λεπτοδόμοις ϖείσμασι, λα-
οπόροις τε μηχαναῖς.

ΣΤΡΟΦΗ β′.

Ταῦτά μοι μελαγχίτων
Φρὴν ἀμύσσεται φόβῳ,
Ὀὰ Περσικȣ̃ ϛρατεύματος
Τȣ̃δε, μὴ ϖόλις ϖύθη-
ται κένανδρον μέγ᾽
Ἄϛυ Σȣσίδος.

ΑΝΤΙΣΤΡΟΦΗ β′.

Καὶ τὸ Κίσσινον ϖόλισμ᾽
Ἀντίδȣπον ἔσσεται.
Ὀὰ τȣ̃τ᾽ ἔπος γυναικοπλη-
θὴς ὅμιλος ἀπύων·
Βυσσίνοις δ᾽ ἐν ϖέ-
πλοις ϖέσῃ λακίς.

ΣΤΡΟΦΗ γ′.

Πᾶς γὰρ ἱππηλάτας τε
Καὶ ϖεδοϛιβὴς λεὼς,
Σμῆνος ὡς ἐκλέλοιπε
Μελισσῶν, σὺν ὀρχάμῳ
Στρατȣ̃, τὸν ἀμφίζευκτον
Ἐξαμείψας ἀμφοτέρας ἅλιον
Πρῶνα κοινὸν αἴας.

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Λέκτρα δ' ἀνδρῶν πόθῳ
Πίμπλανται δακρύμασι·
Περσίδες δ' ἀκροπενθεῖς·
Ἑκάστη πόθῳ φιλάνορι
Τὸν αἰχμήεντα θοῦρον
Εὐνατῆρ' ἀποπεμψαμένα,
Λείπεται μονόζυξ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἀλλ' ἄγε Πέρσαι, τόδ' ἐνεζόμενοι
Στέγος ἀρχαῖον,
Φροντίδα κεδνὴν καὶ βαθύβουλον
Θώμεθα, χρεία δὲ προσήκει·
Πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς
Δαρειογενὴς, τὸ πατρωνύμιον
Γένος ἁμέτερον·
Πότερον τόξου ῥῦμα τὸ νικῶν,
Ἢ δορυκράνου
Λόγχης ἰσχὺς κεκράτηκεν.
Ἀλλ' ἥδε θεῶν ἶσον ὀφθαλμοῖς
Φάος ὁρμᾶται μήτηρ βασιλέως,
Βασίλεια δ' ἐμὴ, προσπιτνῶ·
Καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
Πάντας μύθοισι προσαυδᾷν.

ΤΡΟΧΑΙΟΙ.

Β'. ΧΟ. Ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
Μῆτερ ἡ Ξέρξου γεραιὰ, χαῖρε Δαρείου γύναι,
Θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,

Εἴτι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.
ΑΤ. Ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους·
Καὶ τὸ Δαρείου τε κἀμοῦ κοινὸν εὐνατήριον,
Καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
Μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
Μὴ μέγας πλοῦτος κονίσσας οὖδας ἀντρέψῃ ποδὶ
Ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
Ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶ,
Μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν,
Μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
Ἔστι γὰρ πλοῦτός γ' ἀμεμφὴς, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.
„ Ὄμμα γὰρ δόμων νομίζω, δεσπότου παρουσίαν.
Πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
Τοῦδέ μοι γίνεσθε Πέρσαι, γηραλέα πιστώματα.
Πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.
ΧΟ. Εὖ τόδ' ἴσθι γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
Μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ.
Εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.

ΙΑΜΒΟΙ.

ΑΤ. Πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι
Ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν,
Ἰαόνων γῆν οἴχεται, πέρσαι θέλων·
Ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην,
Ὡς τῆς πάροιθεν εὐφρόνης, λέξω δέ σοι·
Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,
Ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
Ἡ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
Μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολὺ,
Κάλλει τ' ἀμώμῳ, καὶ κασιγνήτα γένους
Ταυτοῦ· πάτραν δ' ἔναιον, ἡ μὲν Ἑλλάδα
Κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.

Τούτω στάσιν τιν' ὡς ἐγὼ 'δόκουν ὁρᾷν
Τεύχειν ἐν ἀλλήλῃσι. Παῖς δ' ἐμὸς μαθὼν
Κατεῖχε, κἀπραΰνεν, ἅρμασιν δ' ὕπο
Ζεύγνυσιν αὐτὼ, καὶ λέπαδν' ἐπ' αὐχένων
Τίθησι. Χ' ἡ μὲν τῇδ' ἐπυργοῦτο στολῇ,
Ἐν ἡνίαισι δ' εἶχεν εὔαρκτον στόμα·
Ἡ δ' ἐσφάδαζε, καὶ χεροῖν ἐν τῇ δίφρου
Διασπαράττει, καὶ ξυναρπάζει βίᾳ
Ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον·
Πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτείρων σφέ· τὸν δ' ὅπως ὁρᾷ
Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
Καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.
Ἐπεὶ δ' ἀνέστην, καὶ χεροῖν καλλιῤῥόου
Ἔψαυσα πηγῆς, σὺν θυηπόλῳ χερὶ
Βωμῷ προσέστην, ἀποτρόποισι δαίμοσι
Θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε·
Ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου· φόβῳ δ' ἄφθογγος ἐστάθην φίλοι·
Μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ
Πτεροῖς ἐφορμαίνοντα, καὶ χηλαῖς κάρα
Τίλλονθ'· ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας
Παρεῖχε. Ταῦτ' ἔμοιγε, δείματ' ἔστ' ἰδεῖν,
Ὑμῖν δ' ἀκούειν. Εὖ γὰρ ἴστε, παῖς ἐμὸς
Πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ' ἀνήρ·
Κακῶς δὲ πράξας, οὐχ ὑπεύθυνος πόλει.
Σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.

ΤΡΟΧΑΙΟΙ.

ΧΟ. Οὔ σε βουλόμεσθα μῆτερ οὔτ' ἄγαν φοβεῖν λόγοις,
Οὔτε θαρσύνειν. Θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
Εἴτι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν λαβεῖν·

Τὰ δ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν,
Καὶ πόλει, φίλοις τε πᾶσι. Δεύτερον δὲ χρὴ χοὰς
Γῇ τε καὶ φθιτοῖς χέασθαι. Πρευμενῶς δ' αἰτοῦ τάδε,
Σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην,
Ἐσθλά σοι πέμπειν, τέκνῳ τε, γῆς ἔνερθεν ἐς φάος.
Τἄμπαλιν δὲ τῶνδε, γαίας κατοχ' ἀμαυροῦσθαι σκότῳ.
Ταῦτα θυμόμαντις ὤν, σοὶ πρευμενῶς παρῄνεσα.
Εὖ δὲ πανταχῆ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
AT. Ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς,
Παιδὶ, καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν·
Ἐκτελοῖτο δὲ τὰ χρηστά· ταῦτα δ' ὡς ἐφίεσαι,
Πάντα θήσομεν θεοῖσι, τοῖς τ' ἔνερθε γῆς φίλοις,
Εὖτ' ἂν εἰς οἴκους μόλωμεν. Κεῖνα δ' ἐκμαθεῖν θέλω,
Ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός.
XO. Τῆλε πρὸς δυσμαῖς ἄνακτος ἡλίου φθινασμάτων.
AT. Ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.
XO. Πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
AT. Ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;
XO. Καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.
AT. Καὶ τί πρὸς τούτοισιν ἄλλο, πλοῦτος ἐξαρκὴς δόμοις;
XO. Ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
AT. Πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερός γ' αὐτοῖς πρέπει;
XO. Οὐδαμῶς· ἔγχη σταδαῖα, καὶ φεράσπιδες σαγαί.
AT. Τίς δὲ ποιμάνωρ ἔπεστι, κἀπιδεσπόζει στρατοῦ;
XO. Οὔ τινος δοῦλοι κέκληνται φωτὸς, οὐδ' ὑπήκοοι.
AT. Πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
XO. Ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.
AT. Δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.
XO. Ἀλλ' ἐμοὶ δοκεῖν, τάχ' εἴσῃ πάντα νημερτῆ λόγον·
Τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν·
Καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
Ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμὴν,
Ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
Ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσόν.
„ Ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
Ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος,
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε Βαρβάρων.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ α΄.

ΧΟ. Ἄνια, ἄνια κακὰ, νεό-
κοτα καὶ δάϊα. Αἶ, αἶ,
Διαίνεσθε Πέρσαι
Τόδ' ἄχος κλύοντες.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Ὡς πάντα γ' ἔς' ἐκεῖνα διαπεπραγμένα·
Κ' αὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.

ΑΝΤΙΣΤΡΟΦΗ α΄.

ΧΟ. Ἡ μακροβίοτος ὅδε
Γέ τις αἰὼν ἐφάνθη
Γεραιοῖς, ἀκούειν
Τόδε πῆμ' ἄελπτον.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Καὶ μὴν παρών γε, κ' οὐ λόγους ἄλλων κλύων,
Πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακά.

ΣΤΡΟΦΗ β'.

ΧΟ. Ὀτοτοτοῖ μάταν
Τὰ πολλὰ βέλεα παμμιγῆ
Γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν
Δίαν Ἑλλάδα χώραν.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταὶ, πᾶς τε πρόσχωρος τόπος.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

ΧΟ. Ὀτοτοτοῖ φίλων
Ἁλίδονα σώματα πολυβαφῆ
Κατθανόντα λέγεις φέρεσθαι
Πλαγκτοῖς ἐν διπλάκεσσιν.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
Στρατὸς, δαμασθεὶς ναΐοισιν ἐμβολαῖς.

ΣΤΡΟΦΗ γ'.

ΧΟ. Ἴυζ' ἄποτμον βοὰν
Δυσαιανῆ Πέρσαις δαΐοις,
Ὡς παγκάκως πάντα ἔθεσαν,
Αἲ, αἲ, στρατοῦ φθαρέντος.

ΙΑΜΒΟΙ.

ΑΓΓ. Ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν,
Φεῦ τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.

ΑΝΤΙΣΤΡΟΦΗ γ΄.

ΧΟ. Στυγναί δ' Ἀθῆναι δαΐοις,
Μεμνῆσθαί τοι πάρα ὡς πολ-
λὰς Περσίδων μάταν ἔκτισαν
Εὔνιδας ἠδ' ἀνάνδρους.

ΙΑΜΒΟΙ.

ΑΤ. Σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
Κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορὰ,
Τὸ μήτε λέξαι, μήτ' ἐρωτῆσαι πάθη.
,, Ὅμως δ' ἀνάγκη πημονὰς βροτοὺς φέρειν,
,, Θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος
Λέξον καταστάς· κ' εἰ στένεις κακοῖς ὅμως·
Τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
Τῶν ἀρχελείων, ὃς ἐπὶ σκηπτουχίᾳ
Ταχθεὶς, ἄνανδρον τάξιν ἠρήμου θανών.
ΑΓΓ. Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ φάος βλέπει.
ΑΤ. Ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα,
Καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.
ΑΓΓ. Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
Στύφλους παρ' ἀκτὰς θείνεται Σιληνίων.
Χὠ χιλίαρχος Δαδάκης, πληγῇ δορὸς,
Πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ' ἄριστος Βακτρίων ἰθαγενὴς,
Θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λίλαιος, Ἀρσάμης τε, κ' Ἀργήστης τρίτος,
Οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
Νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα·
Πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
Ἀρκτεὺς, Ἀδεύης, καὶ Φερεσσέβης τρίτος,
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον.

Χρυσεὺς Μάταλλος μυριόνταρχος θανὼν,
Ἵππȣ μελαίνης ἡγεμὼν τρισμυρίας,
Πυῤῥὰν ζαπληθῆ δάσκιον γενειάδα
Ἔτεγγ᾽, ἀμείϐων χρῶτα πορφυρέᾳ βαφῇ.
Καὶ μᾶγος Ἄραϐος, Ἀρτάμης τε Βάκτριος,
Σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο.
Ἄμιςρις, Ἀμφιςρεύς τε πολύπονον δόρυ
Νωμῶν, ὅ, τ᾽ ἐσθλὸς Ἀριόμαρδος Σάρδεσι
Πένθος παρασχὼν, Σεισάμης ὁ Μύσιος,
Θάρυϐίς τε πεντήκοντα πεντάκις νεῶν
Τάγος, γένος Λυρναῖος, εὐειδὴς ἀνὴρ,
Κεῖται θανὼν δείλαιος ȣ̓ μάλ᾽ εὐτυχῶς·
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἄπαρχος, εἷς ἀνὴρ πλεῖςον πόνον
Ἐχθροῖς παρασχὼν, εὐκλεῶς ἀπώλετο.
Τοιῶνδέ γ᾽ ἀρχόντων νῦν ὑπεμνήσθην πέρι.
Πολλῶν παρόντων δ᾽ ὀλίγ᾽ ἀπαγγέλλω κακά.

ΑΤ. Αἶ, αἶ, κακῶν ὕψιςα δὴ κλύω τάδε,
Αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
Ἀτὰρ φράσον μοι τȣ̃τ᾽ ἀναςρέψας πάλιν,
Πόσον δὴ πλῆθος ἦν νεῶν Ἑλληνίδων,
Ὡς᾽ ἀξιῶσαι Περσικῷ ςρατεύματι,
Μάχην συνάψαι ναΐοισιν ἐμϐολαῖς.

ΑΓΓ. Πλήθȣς μὲν ἂν σάφ᾽ ἴσθ᾽ ἕκατι, Βαρϐάρȣς
Ναυσὶ κρατῆσαι. Καὶ γὰρ Ἕλλησι μὲν ἦν
Ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
Ναῶν, δεκὰς δ᾽ ἦν τῶνδε χωρὶς ἔκκριτος.
Ξέρξῃ δέ· καὶ γὰρ οἶδα· χιλιὰς μὲν ἦν,
Ὧν ἦγε, πλῆθος, αἱ δ᾽ ὑπέρκομποι τάχει,
Ἑκατὸν δὶς ἦσαν, ἑπτά θ᾽· ὧδ᾽ ἔχει λόγος.
Μή σοι δοκȣ̃μεν τῇδε λειφθῆναι μάχῃ;
Ἀλλ᾽ ὧδε δαίμων τὶς κατέφθειρε ςρατὸν,
Τάλαντα βρίσας ȣ̓κ ἰσοῤῥόπῳ τύχῃ.

ΑΤ. Θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς.
ΑΓΓ. Ἔστ᾽ ἄρ᾽ Ἀθηνῶν ἔστ᾽ ἀπόρθητος πόλις.
Ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.
ΑΤ. Ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν φράσον,
Τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
Ἢ παῖς ἐμὸς, πλήθει καταυχήσας νεῶν.
ΑΓΓ. Ἦρξεν μὲν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ,
Φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
Ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
Ἐλθὼν, ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
Ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μένοιεν, ἀλλὰ σέλμασι
Νεῶν ἐπενθορόντες, ἄλλος ἄλλοσι
Δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσαίατο.
Ὁ δ᾽ εὐθὺς ὡς ἤκουσεν οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς, οὐδὲ τὸν θεῶν φθόνον,
Πᾶσι προφωνεῖ τόνδε ναυάρχοις λόγον.
Εὖτ᾽ ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
Λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
Τάξαι νεῶν στίφος μὲν ἐν στίχοις τρισὶν,
Ἔκπλους φυλάσσειν, καὶ πόρους ἁλιῤῥόθους,
Ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ.
Ὡς εἰ μόρον φευξοίαθ᾽ Ἕλληνες κακὸν,
Ναυσὶ κρυφαίως δρασμὸν εὑρόντες τινὰ,
Πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
Τοσαῦτ᾽ ἔλεξε κάρθ᾽ ὑπ᾽ ἐκθύμου φρενός.
Οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
Οἱ δ᾽ οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
Δεῖπνον ἐπορσύνοντο, ναυάτης τ᾽ ἀνὴρ
Τροποῦτο κώπην σκαλμὸν ἀμφ᾽ εὐήρετμον·
Ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο,
Καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
Ἐς ναῦν ἐχώρει, πᾶς θ᾽ ὅπλων ἐπιστάτης,

Τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς.
Πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος,
Καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
Ναῶν ἄνακτες πάντα ναυτικὸν λεών·
Καὶ νὺξ ἐχώρει, κ' οὐ μάλ' Ἑλλήνων στρατὸς
Κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο·
Ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
Πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
Πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα
Μολπηδὸν εὐφήμησεν, ὄρθιον δ' ἅμα
Ἀντηλάλαξε νησιώτιδος πέτρας
Ἠχώ. Φόβος δὲ πᾶσι Βαρβάροις παρῆν
Γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ
Παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
Ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει.
Σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν·
Ἐπεὶ δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
Ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος,
Θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν·
Τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας
Ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
Ὑπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
Πολλὴν βοήν, Ὦ παῖδες Ἑλλήνων ἴτε,
Ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
Παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
Θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.
Καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
Ὑπηντίαζε, κ' οὐκ ἔτ' ἦν μέλλειν ἀκμή.
Εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
Ἔπαισεν, ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
Ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
Κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ.
Τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ

Ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
Ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
Αὐτοὶ δ' ὑφ' αὐτῶν ἐμβολαῖς χαλκοστόμοις
Παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως
Κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
Σκάφη νεῶν, θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν,
Ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·
Ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐκπλήθυνον.
Φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
Ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος·
Τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βέλον
Ἀγαῖσι κωπῶν, θραύσμασίν τ' ἐρειπίων
Ἔπαιον, ἐῤῥάχιζον, οἰμωγὴ δ' ὁμοῦ
Κωκύμασιν κατεῖχε πελαγίαν ἅλα·
Ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.
Κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
Στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
Εὖ γὰρ τόδ' ἴσθι, μήδ' ἂν ἡμέρᾳ μιᾷ
Πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.
ΑΤ. Αἶ, αἶ, κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι Βαρβάρων γένει.
ΑΓΓ. Εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακῶν.
Τοίαδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
Ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.
ΑΤ. Καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
Λέξον τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ
Ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.
ΑΓΓ. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
Ψυχήν τ' ἄριστοι κ' εὐγένειαν ἐκπρεπεῖς,
Αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεὶ,
Τεθνᾶσιν οἰκτρῶς δυσκλεεστάτῳ μόρῳ.
ΑΤ. Οἲ 'γὼ τάλαινα συμφορᾶς κακῆς φίλοι·

Ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι;

ΑΓΓ. Νῆσός τις ἐςὶ πρόσθε Σαλαμῖνος τόπων,
Βαιὰ, δύσορμος ναυσὶν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι.
Ἐνταῦθα πέμπει τούσδ', ὅπως ὅταν νεῶν
Φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο,
Κτείνοιεν εὐχείρωτον Ἑλλήνων ςρατὸν,
Φίλους δ' ὑπεκσώζοιεν εἰναλίων πόρων.
Κακῶς τὸ μέλλον ἱςορῶν. Ὡς γὰρ θεὸς
Ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
Αὐθημερὸν φράξαντες εὐχάλκοις δέμας
Ὅπλοισι, ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ
Κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
Ὅποι τράποιντο. Πολλὰ μὲν γὰρ ἐκ χερῶν
Πέτροισιν ἠράσσαντο, τοξικῆς δ' ἄπο
Θώμιγγος ἰοὶ προσπίπτοντες ὤλλυσαν·
Τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
Παίουσι, κρεωκοποῦσι δυςήνων μέλη,
Ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος·
Ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ ςρατοῦ,
Ὑψηλὸν ὄχθον ἄγχι πελασγίας ἁλός·
Ῥήξας δὲ πέπλους, κἀνακωκύσας λιγὺ,
Πεζῷ παραγγείλας ἄφαρ ςρατεύματι,
Ἵηξ' ἀκόσμῳ ξὺν φυγῇ· τοιάνδε σοι
Πρὸς τῇ πάροιθε συμφορὰν πάρα ςένειν.

ΑΤ. Ὦ ςυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
Κλεινῶν Ἀθηνῶν εὗρε, κ' οὐκ ἀπήρκεσαν
Οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν·
Ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν,
Τοσόνδε πλῆθος πημάτων ἐπέσπασε.
Σὺ δ' εἰπὲ ναῶν αἳ πεφεύγασιν μόρον,

Ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
Ἤθροισ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
Αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβολαῖς χαλκοστόμοις
Παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως
Κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
Σκάφη νεῶν, θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν,
Ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·
Ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐκπλήθυνον.
Φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
Ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος·
Τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
Ἀγαῖσι κωπῶν, θραύσμασίν τ' ἐρειπίων
Ἔπαιον, ἐῤῥάχιζον, οἰμωγὴ δ' ὁμοῦ
Κωκύμασιν κατεῖχε πελαγίαν ἅλα·
Ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.
Κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
Στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
Εὖ γὰρ τόδ' ἴσθι, μήδ' ἂν ἡμέρᾳ μιᾷ
Πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.
ΑΤ. Αἶ, αἶ, κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι Βαρβάρων γένει.
ΑΓΓ. Εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακῶν.
Τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
Ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.
ΑΤ. Καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
Λέξον τίν' αὖ φὴς τήνδε συμφορὰν στρατῷ
Ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.
ΑΓΓ. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
Ψυχήν τ' ἄριστοι κ' εὐγένειαν ἐκπρεπεῖς,
Αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεὶ,
Τεθνᾶσιν οἰκτρῶς δυσκλεεστάτῳ μόρῳ.
ΑΤ. Οἳ 'γὼ τάλαινα συμφορᾶς κακῆς φίλοι·

Ποίῳ μόρῳ δὲ τȣ́σδε φῂς ὀλωλέναι;
ΑΓΓ. Νῆσός τις ἐςὶ ϖρόσθε Σαλαμῖνος τόπων,
Βαιὰ, δύσορμος ναυσὶν, ἣν ὁ φιλόχορος
Πὰν ἐμϐατεύει, ϖοντίας ἀκτῆς ἔπι.
Ἐνταῦθα ϖέμπει τȣ́σδ᾽, ὅπως ὅταν νεῶν
Φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο,
Κτείνοιεν εὐχείρωτον Ἑλλήνων ςρατὸν,
Φίλȣς δ᾽ ὑπεκσώζοιεν εἰναλίων πόρων.
Κακῶς τὸ μέλλον ἱςορῶν. Ὡς γὰρ θεὸς
Ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
Αὐθημερὸν φράξαντες εὐχάλκοις δέμας
Ὅπλοισι, ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ
Κυκλȣ̃ντο ϖᾶσαν νῆσον, ὥστ᾽ ἀμηχανεῖν
Ὅποι τράποιντο. Πολλὰ μὲν γὰρ ἐκ χερῶν
Πέτρῃσιν ἠράσσαντο, τοξικῆς δ᾽ ἄπο
Θώμιγγος ἰοὶ ϖροσπίπτοντες ὤλλυσαν·
Τέλος δ᾽ ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθȣ
Παίȣσι, κρεωκοπȣ̃σι δυςήνων μέλη,
Ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ᾽ ἀνῴμωξεν κακῶν ὁρῶν βάθος·
Ἕδραν γὰρ εἶχε ϖαντὸς εὐαγῆ ςρατȣ̃,
Ὑψηλὸν ὄχθον ἄγχι ϖελασγίας ἁλός·
Ῥήξας δὲ ϖέπλȣς, κἀνακωκύσας λιγὺ,
Πεζῷ ϖαραγγείλας ἄφαρ ςρατεύματι,
Ἤϊξ᾽ ἀκόσμῳ ξὺν φυγῇ· τοιάνδε σοι
Πρὸς τῇ ϖάροιθε συμφορὰν ϖάρα ςένειν.
ΑΤ. Ὦ ςυγνὲ δαῖμον, ὡς ἄρ᾽ ἔψευσας φρενῶν
Πέρσας· ϖικρὰν δὲ ϖαῖς ἐμὸς τιμωρίαν
Κλεινῶν Ἀθηνῶν εὗρε, κ᾽ ȣ̓κ ἀπήρκεσαν
Οὓς ϖρόσθε Μαραθὼν Βαρϐάρων ἀπώλεσεν·
Ὧν ἀντίποινα ϖαῖς ἐμὸς ϖράξειν δοκῶν,
Τοσόνδε ϖλῆθος ϖημάτων ἐπέσπασε.
Σὺ δ᾽ εἰπὲ ναῶν αἳ ϖεφεύγασιν μόρον,

Ποῦ τάσδ' ἔλειπες· οἶσθα σημῆναι τορῶς;
ΑΓΓ. Ναῶν δὲ ταγοὶ τῶν λελειμμένων σύδην
Κατ' οὖρον οὐκ εὔκοσμον αἱροῦνται φυγήν.
Στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ
Διώλλυθ', οἱ μὲν ἀμφὶ Κρηναῖον γάνος
Δίψει πονοῦντες, οἱ δ' ὑπ' ἄσθματος κενοὶ
Διεκπερῶμεν ἔς τε Φωκέων χθόνα,
Καὶ Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ·
Κᾀντεῦθεν ἡμᾶς γῆς Ἀχαιΐδος πέδον,
Καὶ Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους
Βορᾶς ἐδέξαντ'· ἔνθα δὴ πλεῖστοι θάνον
Δίψῃ τε λιμῷ τ'· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν, ἔς τε Μακεδόνων
Χώραν ἀφικόμεσθ', ἐπ' Ἀξίου πόρον,
Βόλβης θ' ἕλειον δόνακα, Παγγαῖόν τ' ὄρος,
Ἠδωνίδ' αἶαν· νυκτὶ δ' ἐν ταύτῃ θεὸς
Χειμῶν' ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
Ῥέεθρον ἁγνοῦ Στρυμόνος. Θεοὺς δέ τις
Τὸ πρὶν νομίζων οὐδαμοῦ, τότ' ηὔχετο
Λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
Ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
Στρατὸς, περᾷ κρυσταλλοπῆγα διὰ πόρον·
Χὤς τις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ
Ἀκτῖνας, ὡρμήθη, σεσωσμένος κυρεῖ.
Φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος,
Μέσον πόρον διῆκε, θερμαίνων φλογί.
Πίπτον δ' ἐπ' ἀλλήλοισιν· εὐτυχὴς δέ τοι
Ὅστις τάχιστα πνεῦμ' ἀπέρρηξεν βίου.
Ὅσοι δὲ λοιποὶ, κἄτυχον σωτηρίας,
Θρήκην περάσαντες μόγις πολλῷ πόνῳ,
Ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
Ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν

Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
Ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
Κακῶν, ἃ Πέρσαις ἐγκατέσκηψεν θεός.

ΧΟ. Ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
Ποδοῖν ἐνήλου παντὶ Περσικῷ γένει.

ΑΤ. Οἲ 'γὼ τάλαινα διαπεπραγμένου στρατοῦ·
Ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων,
Ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.
Ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
Ὅμως δ' ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις
Ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
Ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
Ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν·
Ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
Ἀλλ' ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
Ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις,
Πιστοῖς γε πιστὰ ξυμφέρειν βουλεύματα·
Καὶ παῖδ', ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ,
Παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους,
Μὴ καί τι πρὸς κακοῖσι πρόσθηται κακόν.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟ. Ἀλλ' ὦ Ζεῦ βασιλεῦ, νῦν Περσῶν
Τῶν μεγαλαύχων καὶ πολυάνδρων
Στρατιὰν ὀλέσας,
Ἄστυ τὸ Σούσων ἠδ' Ἐκβατάνων
Πένθει δνοφερῷ κατέκρυψας·
Πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας
Κατερεικόμεναι, διὰ μυδαλέοις
Δάκρυσι κόλπους
Τέγγουσ', ἄλγους μετέχουσαι.
Αἱ δ' ἁβρογόοι Περσίδες, ἀνδρῶν

Ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
Λέκτρων τ' εὐνὰς ἁβροχίτωνας,
Χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
Πενθοῦσι γόοις ἀκορεστοτάτοις·
Κἀγὼ δὲ μόρον τῶν οἰχομένων
Αἴρω δοκίμως πολυπενθῆ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ α'.

Νῦν γὰρ δὴ πρόπασα μὲν στένει
Γαῖ' Ἀσιὰς ἐκκενουμένα·
Ξέρξης μὲν γὰρ ἤγαγεν ποποῖ,
Ξέρξης δ' ἀπώλεσεν τοτοῖ,
Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως
Βαρίδεσσι ποντίαις.
Τί ποτε Δαρεῖος μὲν οὔ-
τω τότ' ἀβλαβὴς ἐπῆν
Τόξαρχος πολιήταις,
Σουσίδος φίλος ἄκτωρ;

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Πεζοὺς τε γὰρ καὶ θαλασσίους
Αἵ δ' ὁμόπτεροι κυανώπιδες
Νᾶες μὲν ἄγαγον ποποῖ,
Νᾶες δ' ἀπώλεσαν τοτοῖ,
Νᾶες πανωλεθρίοισιν ἐμβολαῖς.
Διὰ δ' Ἰαόνων χέρας
Τυτθὰ δ' ἐκφυγεῖν ἄνα-
κτ' αὐτῶν ὡς ἀκούομεν
Θρῄκης ἀμπεδιήρεις
Δυσχειμέρους τε κελεύθους.

ΣΤΡΟΦΗ β'.

Τοὶ δ' ἄρα ϖρωτόμοροι (φεῦ)
Ληφθέντες πρὸς ἀνάγκαν, (ἠέ)
Ἀκτὰς ἀμφὶ Κυχρείας. Ὀᾶ,
* * * * * *
Στένε καὶ δακνάζου,
Βαρὺ δ' ἀμβόασον
Οὐράνι' ἄχη. Ὀά.
Τεῖνε δὲ δυσβαΰκτον
Βοᾶτιν τάλαιναν αὐδάν.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Γναμπτόμενοι δ' ἀλὶ δεινᾷ (φεῦ)
Σκύλλονται ϖρὸς ἀναύδων (ἠέ)
Παίδων τᾶς ἀμιάντου. Ὀά.
Πενθεῖ δ' ἄνδρα δόμος στερηθείς·
Τοκῆες δ' ἄπαιδες
Ἔῤῥανται ἐν δάκρυσι,
Δαιμόνι' ἄχη (ὀά)
Ὀδυρόμενοι γέροντες·
Τὸ ϖᾶν δὴ κλύουσιν ἄλγος.

ΑΝΑΠΑΙΣΤΟΙ.

Τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν δὴν
Οὐκ ἔτι ϖερσονομοῦνται,
Οὐκ ἔτι δασμοφοροῦσι
Δεσποσύνοισιν ἀνάγκαις,
Οὔτ' ἐς γᾶν ϖροσπίτνοντες
Ἄρξονται. Βασίλεια
Γὰρ διόλωλεν ἰσχύς.

Οὐ δ' ἔτι γλῶσσα βροτοῖσιν
Ἐν φυλακαῖς· λέλυται γὰρ
Λαὸς ἐλεύθερα βάζειν,
Ὡς ἐλύθη ζυγὸν ἀλκᾶς.
Αἱμαχθεῖσα δ' ἄρουρα
Αἴαντος περικλύστα
Νᾶσος ἔχει τὰ Περσῶν.

ΙΑΜΒΟΙ.

Γ'. ΑΤ. " Φίλοι, κακῶν μὲν ὅστις ἔμπορος κυρεῖ,
,, Ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
,, Κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
,, Ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι
,, Τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχης.
Ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα
Ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν·
Βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος.
Τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
Τοὶ γὰρ κέλευθον τήνδ' ἄνευ ὀχημάτων,
Χλιδῆς τε τῆς πάροιθεν, ἐκ δόμων πάλιν
Ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοὰς
Φέρουσ' ἅπερ νεκροῖσι μειλικτήρια·
Βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
Τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
Λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα·
Ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
Ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε·
Τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
Ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα,
Ἄνθη τε πλεκτά, παμφόρου γαίας τέκνα·
Ἀλλ' ὦ φίλοι χοαῖσι ταῖσδε νερτέρων
Ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα

Δαρεῖον ἀνακαλεῖσθε, γαπότȣς δ' ἐγὼ
Τιμὰς ϖροπέμψω τάσδε νερτέροις θεοῖς.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟ. Βασίλεια γύναι ϖρέσϐος Πέρσαις
Σύ τε ϖέμπε χοὰς θαλάμȣς ὑπὸ γῆς·
Ἡμεῖς δ' ὕμνοις αἰτησόμεθα
Φθιμένων ϖομπȣ̀ς
Εὔφρονας εἶναι κατὰ γαίας.
Ἀλλὰ χθόνιοι δαίμονες ἁγνοὶ
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,
Πέμψατ' ἔνερθεν ψυχὰν ἐς φάος·
Εἰ γάρ τι κακῶν ἄκος οἶδε ϖλέον,
Μόνος ἂν θνητῶν ϖέρας εἴποι.

ΕΠΩΔΙΚΑ.

ΣΤΡΟΦΗ α'.

Ἦ ῥ' ἀΐει μȣ μακαρί-
τας ἰσοδαίμων βασιλεὺς
Βάρϐαρα σαφηνῆ
Ἱέντος τὰ ϖαναίολ'
Αἰανῆ δύσθροα βάγματα;
Παντάλαν' ἄχη διαϐοάσω.
Νέρθεν ἆρα κλύει μȣ.

ΑΝΤΙΣΤΡΟΦΗ α'.

Ἀλλὰ σύ μοι Γᾶ τε καὶ ἄλ-
λοι χθονίων ἁγεμόνες
Δαίμονα μεγαλαυχῆ
Ἰόντ' αἰνέσατ' ἐκ δόμων,

Περσᾶν Σεσιγενῆ θεόν·
Πέμπετε δ' ἄνω οἷον ἔπω
Περσὶς αἶ' ἐκάλυψεν.

ΣΤΡΟΦΗ β'.

Ἦ φίλος ἀνὴρ, ἦ φίλος ὄχθος·
Φίλα γὰρ κέκευθεν ἤθη.
Ἀϊδωνεὺς δ' ἀναπομπὸς
Ἀνίει Δαρεῖον,
Οἷον ἄνακτα Δαρειάν. Ἠέ.

ΑΝΤΙΣΤΡΟΦΗ β'.

Οὔτε γὰρ ἄνδρας πότ' ἀπώλλυ
Πολεμοφθόροισιν ἄταις,
Θεομήστωρ δ' ἐκικλήσκετο
Πέρσαις, θεομήστωρ δ' ἔσκεν·
Ἐπεὶ στρατὸν εὖ ἐποδώκει. Ἠέ.

ΣΤΡΟΦΗ γ'.

Βαλὴν ἀρχαῖος βαλὴν
Ἴθι, ἵκου,
Ἔλθ' ἐπ' ἄκρον κόρυμ-
βον ὄχθου, κροκόβαπτον
Ποδὸς εὔμαριν ἀείρων,
Βασιλείου τιάρας
Φάλαρον πιφαύσκων.
Βάσκε πάτερ ἄκακε Δαρειὰν, οἶ.

ΑΝΤΙΣΤΡΟΦΗ γ'.

Ὅπως καινά τε κλύῃς
Νέα τ' ἄχη·

Δέσποτα δεσπότȣ
Φάνηθι. Στυγία γὰρ
Τις ἐπ' ἀχλὺς ϖεπόταται.
Νεολαία γὰρ ἤδη
Κατὰ ϖᾶσ' ἀπόλωλε.
Βάσκε ϖάτερ ἄκακε Δαρειὰν, οἶ.

ΕΠΩΔΟΣ.

Αἶ, αἶ, αἶ, αἴ.
Ὦ ϖολύκλαυτε φίλοισι θανών.
Τί τάδε δυνάτα, δυνάτα,
Περὶ τᾷ σᾷ δίδυμα
Διάγοιεν ἁμάρτια
Πάσᾳ γᾷ σᾷ τᾷδε,
Ἐξέφθινθ' αἱ τρίσκαλμοι
Νᾶες ἄναες ἄναες.

ΙΑΜΒΟΙ.

Δ'. ΔΑ. Ὦ ϖιςὰ ϖιςῶν, ἥλικές θ' ἥβης ἐμῆς
Πέρσαι γεραιοὶ, τίνα ϖόλις ϖονεῖ ϖόνον;
Στένει, κέκοπται, καὶ χαράσσεται ϖέδον·
Λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν ϖέλας τάφȣ,
Ταρβῶ, χοὰς δὲ ϖρευμενεῖς ἐδεξάμην·
Ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑςῶτες τάφȣ
Καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις,
Οἰκτρῶς καλεῖτέ μ', ἐςὶ δ' ȣ̓κ εὐέξοδον·
„ Ἄλλως τε ϖάντως χ' οἱ κατὰ χθονὸς θεοὶ
„ Λαβεῖν ἀμείνȣς εἰσὶν ἢ μεθιέναι.
Ὅμως δ' ἐκείνοις ἐνδυναςεύσας ἐγὼ
Ἥκω· τάχυνα δ' ὡς ἄμεμπτος ὦ χρόνȣ.
Τί δ' ἐςὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;
ΧΟ. Σέβομαι μὲν ϖροσιδέσθαι,

Σέβομαι δ' ἀντία λέξαι
Σέθεν, ἀρχαίῳ περὶ τάρβει.

ΤΡΟΧΑΙΟΙ.

ΔΑ. Ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,
Μήτι μακιστῆρα μῦθον ἀλλὰ σύντομον λέγων,
Εἰπὲ, καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς.
ΧΟ. Δείομαι μὲν χαρίσασθαι,
Δείομαι δ' ἀντία φᾶσθαι,
Λέξας δύσλεκτα φίλοισιν.
ΔΑ. Ἀλλ' ἐπεὶ δέος παλαιόν σοι φρενῶν ἀνθίσταται,
Τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ' εὐγενὲς γύναι,
Κλαυμάτων λήξασα τῶνδε καὶ γόων, σαφές τι μοὶ
„ Λέξον. Ἀνθρώπεια δ' ἄν τοι πήματ' ἐντύχοι βροτοῖς.
„ Πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ
„ Γίνεται θνητοῖς, ὁ μάσσων ἢν βίος ταθῇ πρόσω.
ΑΤ. Ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ,
Ὡς ἕως ἔλευσας αὐγὰς ἡλίου, ζηλωτὸς ὢν
Βίοτον εὐαίωνα Πέρσαις, ὡς θεὸς, διήγαγες·
Νῦν τέ σε ζηλῶ θανόντα πρὶν κακῶν ἰδεῖν βάθος·
Πάντα γὰρ Δαρεῖ' ἀκούσῃ μῦθον ἐκ βραχεῖ χρόνῳ.
Διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.
ΔΑ. Τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκηπτὸς, ἢ στάσις πόλει;
ΑΤ. Οὐδαμῶς· ἀλλ' ἀμφ' Ἀθήναις πᾶς διέφθαρται στρατός.
ΔΑ. Τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει, φράσον.
ΑΤ. Θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.
ΔΑ. Πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;
ΑΤ. Ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στρατηλάτων.
ΔΑ. Πῶς δὲ καὶ στρατὸς τοσός δε πεζὸς ἤνυσεν περᾶν;
ΑΤ. Μηχαναῖς ἔζευξεν Ἕλλης πορθμὸν, ὥστ' ἔχειν πόρον.
ΔΑ. Καὶ τόδ' ἐξέπραξεν ὥστε Βόσπορον κλεῖσαι μέγαν;
ΑΤ. Ὧδ' ἔχει, γνώμης δέ που τὶς δαιμόνων συνήψατο.

ΔΑ. Φεῦ μέγας τὶς ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς.
ΑΤ. Ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.
ΔΑ. Καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;
ΑΤ. Ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.
ΔΑ. Ὧδε παμπήδην δὲ πᾶς λαὸς κατέφθαρται δορί;
ΑΤ. Πρὸς τάδ' ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει.
ΔΑ. Ὢ πόποι κενῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
ΑΤ. Βακτρίων δ' ἔρρει πανώλης δῆμος, οὐδέ τις γέρων.
ΔΑ. Ὢ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε.
ΑΤ. Μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα.
ΔΑ. Πῶς τε δὴ καὶ ποῖ τελευτᾷν ἐστι; τίς σωτηρία;
ΑΤ. Ἄσμενον μολεῖν γέφυραν ἐν δυοῖν ζευκτηρίαν.
ΔΑ. Καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ' ἐτήτυμον;
ΑΤ. Ναὶ λόγος κρατεῖ σαφηνὴς, τοῦτο δ' οὐκ ἔνι στάσις.
ΔΑ. Φεῦ ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, ἐς τὸν παῖδ' ἐμὸν
Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
Διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτήσειν θεούς·
„ Ἀλλ' ὅταν σπεύδῃ τὶς, αὐτὸς χῷ θεὸς συνάπτεται.
Νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις.
Παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει·
Ὅστις Ἑλλήσποντον ἱρὸν, δοῦλον ὣς, δεσμώμασιν
Ἤλπισε σχήσειν, ῥέοντα Βόσπορον ῥόον θεοῦ·
Καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
Περιβαλὼν, πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
Θνητὸς ὢν, θεῶν δὲ πάντων ᾤετ', οὐκ εὐβουλίᾳ,
Καὶ Ποσειδῶνος κρατήσειν. Πῶς τάδ' οὐ νόσος φρενῶν
Εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόρος
Οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
ΑΤ. Ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
Θούριος Ξέρξης. Λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
Πλοῦτον ἐκτήσω σὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
Ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.

Τοιάδ᾽ ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν,
Τήνδ᾽ ἐβούλευσεν κέλευθον καὶ στράτευμ᾽ ἐφ᾽ Ἑλλάδα.

ΙΑΜΒΟΙ.

ΔΑ. Τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
Μέγιστον, αἰείμνηστον οἷον οὐδέπω,
Τὸ δ᾽ ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν·
Ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ᾽ ὤπασεν,
Ἕν᾽ ἄνδρα πάσης Ἀσιάδος μηλοτρόφου
Ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
Ἄλλος δ᾽ ἐκείνου παῖς τόδ᾽ ἔργον ἤνυσε·
Φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν.
Τρίτος δ᾽ ἀπ᾽ αὐτοῦ Κῦρος, εὐδαίμων ἀνὴρ,
Ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ.
Θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατόν.
Πέμπτος δὲ Μάρδος ἦρξεν, αἰσχύνη πάτρᾳ,
Θρόνοισί τ᾽ ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
Ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ᾽ ἦν χρέος.
Ἕκτος δὲ Μάραφις, ἕβδομός τ᾽ Ἀρταφρένης.
Κἀγὼ δ᾽ ἔκυρσα τοῦ περ ἤθελον πάλου,
Κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ.
Ἀλλ᾽ οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ᾽ ἐμὸς παῖς ὢν νέος νέα φρονεῖ,
Κ᾽ οὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς·
Εὖ γὰρ σαφῶς τόδ᾽ ἴστ᾽ ἐμοὶ ξυνήλικες,
Ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ᾽ ἔσχομεν,
Οὐκ ἂν φανεῖμεν πήματ᾽ ἔρξαντες τόσα.

ΧΟ. Τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
Λόγων τελευτήν; Πῶς ἂν ἐκ τούτων ἔτι
Πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
ΔΑ. Εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,
Μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν.
Αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
ΧΟ. Πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;
ΔΑ. Κτείνουσα λιμῷ τοὺς ὑπερκόμπους ἄγαν.
ΧΟ. Ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἀροῦμεν στόλον.
ΔΑ. Ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
Στρατὸς κυρήσει νοσίμου σωτηρίας.
ΧΟ. Πῶς εἶπας; Οὐ γὰρ πᾶν στράτευμα Βαρβάρων
Περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
ΔΑ. Παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
Χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
Βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μὲν, τὰ δ' οὔ.
Κ' εἴπερ τάδ' ἐστὶ, πλῆθος ἔκκριτον στρατοῦ
Λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
Μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
Ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
Οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
Ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
Οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
Ἠδοῦντο συλᾷν, οὐδὲ πιμπράναι νεώς.
Βωμοὶ δ' ἄϊστοι, δαιμόνων θ' ἱδρύματα
Πρόῤῥιζα φύρδην ἐξανέστραπται βάθρων.
Τοι γὰρ κακῶς δράσαντες, οὐκ ἐλάσσονα
Πάσχουσι, τὰ δὲ μέλλουσι, κ' οὐδέπω κακῶν
Κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπαιδεύεται.
Τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς
Πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
Θῖνες δὲ νεκρῶν καὶ τριτοσπόρῳ γονῇ
Ἄφωνα σημανοῦσιν ὄμμασι βροτῶν,

,, Ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
,, Ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
,, Ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
Τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια,
Μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
Ὑπερφρονήσας τὸν παρόντα δαίμονα,
Ἄλλων ἐρασθεὶς, ὄλβον ἐκχέῃ μέγαν.
,, Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
,, Φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς·
Πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένοι
Πινύσκετ' εὐλόγοισι νουθετήμασι,
Λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.
Σὺ δ' ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη
Ἐλθοῦσ' ἐς οἴκους, κόσμον ὅστις εὐπρεπὴς,
Λαβοῦσ' ὑπαντίαζε παιδί. Πάντα γὰρ
Κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
Στημοῤῥαγοῦσι ποικίλων ἐσθημάτων.
Ἀλλ' αὐτὸν εὐφρόνως σὺ πραΰνον λόγοις.
Μόνης γὰρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
Ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
Ὑμεῖς δὲ πρέσβεις χαίρετ', ἐν κακοῖς ὅμως,
Ψυχῇ διδόντες ἡδονὴν καθ' ἡμέραν.
,, Ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

ΧΟ. Ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
Ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.

ΑΤ. Ὦ δαῖμον, ὥς με πόλλ' ἐσέρχεται κακὰ
Ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
Ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
Ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
Ἀλλ' εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων,
Ὑπαντιάζειν παῖδ' ἐμῷ πειράσομαι.
Οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ.

ΧΟ. Ὦ πόποι, ἦ μεγάλας
Ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς
Ἐπεκύρσαμεν, εὖθ' ὁ γεραιὸς
Πανταρκὴς, ἀκάκης,
Ἄμαχος βασιλεὺς ἰσόθεος
Δαρεῖος ἆρχε χώρας.

ΑΝΤΙΣΤΡΟΦΗ.

Πρῶτα μὲν εὐδοκίμου
Στρατιᾶς ἀπεφαινόμεθ', ἠδὲ νόμι-
μα τὰ πύργινα πάντ' ἐπεύθυνον.
Νόσοι δ' ἐκ πολέμων
Ἀπόνους ἀπαθεῖς, εὖ πράσσον-
τας, ἆγον ἐς οἴκους.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ὅσας δ' εἷλε πόλις,
Πόρον οὐ διαβὰς
Ἅλυος ποταμοῦ,
Οὐδ' ἀφ' ἑστίας συθεὶς,
Οἷαι Στρυμονίου πελάγους
Ἀχελωΐδες εἰσὶ πάροικοι
Θρηϊκίων ἐπαύλων,
Λίμνας τ' ἔκτοθεν, αἳ
Κατὰ χέρσον ἐλη-
λαμέναι περὶ πύργον
Τοῦδ' ἄνακτος ἀΐον

Ἕλλας ἀμφὶ πόρον
Πλατὺν ἐχόμεναι,
Μυχία τε Προποντὶς,
Καὶ ϛόμα Πόντȣ,
Νᾶσοί ϑ᾽ αἳ κατὰ πρῶ-
ν᾽ ἅλιον περίκλυϛοι,
Τᾷδε γᾷ προσήμεναι,
Οἷα Λέσβος, ἐλαι-
όφυτός τε Σάμος,
Χῖος, ἠδὲ Πάρος,
Νάξος, Μύκονος,
Τήνῳ τε συνάπτȣσ᾽
Ἄνδρος ἀγχιγείτων,
Καὶ τὰς ἀγχιάλȣς
Ἐκράτυνε μεσάγκτȣς,
Λῆμνον, Ἰκάρȣ ϑ᾽ ἕλος,
Καὶ Ῥόδον, ἰδὲ Κνίδον,
Κυπρίας τε πόλεις,
Πάφον, ἠδὲ Σόλȣς,
Σαλαμῖνά τε, τῆς
Νῦν ματρόπολις
Τῶνδ᾽ αἰτία ϛεναγμάτων.
Καὶ τὰς εὐκτεάνȣς
Κατὰ κλῆρον Ἰόνιον πολυάνδρȣς
Ἑλλάνων ἐκράτυ-
νε σφετέραις φρεσίν·
Ἀκάματον δὲ παρῆν
Σθένος ἀνδρῶν τευχηϛήρων,
Παμμίκταν τ᾽ ἐπικȣ́ρων· νῦν
Δ᾽ ȣ̓κ ἀμφιλόγως
Θεότρεπτα τάδ᾽ αὖ
Φέρομεν πολέμοισι

Δμαθέντες μεγάλως
Πλαγαῖσι ποντίαισιν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ε΄. ΞΕΡ. Ἰὼ,
Δύστηνος ἐγὼ στυγερᾶς μοίρας
Τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
Ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ· τί πάθω τλήμων;
Λέλυται γὰρ ἐμῶν γυίων ῥώμη,
Τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
Εἴθ' ὤφελε Ζεὺς κἀμὲ μετ' ἀνδρῶν
Τῶν οἰχομένων
Θανάτȣ κατὰ μοίρᾳ καλύψαι.
ΧΟ. Ὀτοτοτοὶ βασιλεῦ στρατιᾶς ἀγαθῆς,
Καὶ Περσονόμȣ τιμῆς μεγάλης,
Κόσμȣ τ' ἀνδρῶν,
Οὓς νῦν δαίμων ἀπέκειρε,
Γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
Ἥβαν Ξέρξᾳ κταμέναν Ἅιδȣ
Σάκτορι Περσᾶν· ἀγδαβάται γὰρ
Πολλοὶ φῶτες χώρας ἄνθος
Τοξοδάμαντες, πάνυ γὰρ φύστις
Μυριὰς ἀνδρῶν, ἐξέφθινται.
ΞΕ. Αἶ, αἶ, κεδνᾶς ἀλκᾶς.
ΧΟ. Ἀσία δὲ χθὼν βασιλεῦ
Γαίας αἰνῶς, αἰνῶς,
Ἐπὶ γȣ̃νυ κέκλιται.
ΞΕ. Ὅδ' ἐγὼν, οἶ, οἶ, αἰακτὸς
Μέλεος γέννᾳ, γᾷ τε πατρίᾳ
Κακὸν ἄρ' ἐγενόμην.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΧΟ. Πρόσφθογγόν σοι νόστου, τὰν
Κακοφάτιδα βοὰν,
Κακομέλετον ἰὰν
Μαριανδυνοῦ
Θρηνητῆρος
Πέμψω, πέμψω,
Πολύδακρυν ἰαχάν.

ΞΕ. Ἵετ' αἰανὴν καὶ πανόδυρτον
Δύσθροον αὐδάν.
Δαίμων γὰρ ὅδ' αὖ
Μετάτροπος ἐπ' ἐμοί.

ΧΟ. Ἥσω τοι καὶ πανόδυρτον,
Λαοπαθῆ τε σεβίζων,
Ἁλίτυπά τε βάρη,
Πόλεως γέννας πενθητῆρος.
Κλάγξω δ' αὖ γόον ἀρίδακρυν.
Ἰώνων γὰρ ἀπηύρα,
Ἰώνων ναύφρακτος
Ἄρης ἑτεραλκὴς
Νυχίαν πλάκα κερσάμενος
Δυσδαίμονά τ' ἀκτάν.

ΞΕ. Οἶ, οἶ, οἶ, βόα καὶ πάντ' ἐκπεύθου.

ΧΟ. Ποῦ δὲ φίλων ἄλλος ὄχλος,
Ποῦ δέ σοι παραστάται,
Οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων, καὶ
Δοτάμας, ἠδ' Ἀγαβάτας,
Ψάμμις, καὶ Σουσισκάνης
Τἀκβάτανα λιπών.

ΞΕ. Ὀλοὺς ἀπέλιπον Τυρίας

Ἐκ ναὸς ἔῤῥοντας ἐπ' ἀκταῖς
Σαλαμινίσι ςυφέλυ
Θανόντας ἐπ' ἀκτᾶς.

ΧΟ. Οἶ, οἶ, οἶ, πῦ δέ σοι Φαρνῦχος
Κ' Ἀριόμαρδός τ' ἀγαθὸς,
Πῦ δὲ Σεβάλκης ἄναξ,
Ἢ Λίλαιος εὐπάτωρ,
Μέμφις, Θάρυβις, καὶ Μασίςρης,
Ἀρτεμβάρης τ' ἠδ' Ὑςαίχμας·
Τάδε σ' ἐπανέρομαι.

ΞΕ. Ἰὼ, ἰώ, μοι, μοι,
Τὰς ὠγυγίας κατιδόντες
Στυγνὰς Ἀθάνας, πάντες
Ἑνὶ πιτύλῳ,
Ἒ, ἒ, ἒ, τλάμονες
Ἀσπαίρυσι χέρσῳ.

ΧΟ. Ἦ καὶ τὸν Περσῶν αὐτῦ
Τὸν σὸν πιςὸν πάντ' ὀφθαλμὸν
Μυρία μυρία πεμπαςὰν
Βατανώχυ παῖδ', Ἄλπισον
Τῦ Σησάμυ τῦ Μυγαβάτα,
Πάρθεόν τε, μέγαν τ' Οἰβάρην
Ἔλιπες, ἔλιπες;

ΞΕ. Ὦ δαΐων.

ΧΟ. Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.

ΞΕ. Ἴυγγά μοι δῆτ' ἀγαθῶν
Ἑτάρων ὑπομιμνήσκεις,
Ἄλαςα ςυγνὰ πρόκακα
Λέγων. Βοᾷ, βοᾷ,
Μελέων ἔνδοθεν ἦτορ.

ΧΟ. Καὶ μὴν ἄλλο τὶ ποθῦμεν.
Μάρδων ἀνδρῶν μυριόνταρχον
Ξάνθην, ἄρειόν τ' Ἀγχάρην,

Διαῖξίν τ' ἠδ' Ἀρσάκην
Ἱππιάνακτας·
Κιγδαγάταν καὶ Λυθίμναν
Τόλμον, αἰχμῆς ἀκόρεστον.

ΞΕ. Ἔταφον, ἔταφον, ἐκ ἀμφὶ σκηναῖς
Τροχηλάτοισιν, ὄπισθεν δ' ἑπόμενοι·
Βεβᾶσι γὰρ οἵπερ ἀγρόται ςρατȣ̃,
Βεβᾶσιν, οἶ, οἶ, νώνυμοι.

ΧΟ. Ἰὴ, ἰὴ, ἰὼ, ἰὼ, ἰὼ, ἰὼ,
Δυσδαίμονες ἔθετ' ἄ-
ελπτον κακὸν διαπρέπον,
Οἷον δέδορκεν Ἄτα.

ΞΕ. Πεπλήγμεθ', οἷαι δι' αἰῶνος τύχαι.

ΧΟ. Πεπλήγμεθ'· εὔδηλα γὰρ,
Νέαι, νέαι, δύαι, δύαι·
Ἰαόνων ναυβατῶν
Κύρσαντες ἐκ εὐτυχῶς.
Δυσπόλεμον δὴ γένος τὸ Περσῶν.

ΞΕ. Πῶς δ' ἐ ςρατὸν μὲν τοσȣ̃τον
Τάλας πέπληγμαι;

ΧΟ. Τί δ'; ἐκ ὄλωλεν
Μεγάλα τὰ Περσῶν.

ΞΕ. Ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς ςολᾶς;

ΧΟ. Ὁρῶ, ὁρῶ.

ΞΕ. Τανδί τ' οἰϛοδέγμονα.

ΧΟ. Τί τόδε λέγεις σεσωσμένον;

ΞΕ. Θησαυρὸν βέλεσι.

ΧΟ. Βαιά γ' ὡς ἀπὸ πολλῶν.

ΞΕ. Ἐσπανίσμεθ' ἀρωγῶν.

ΧΟ. Ἰαόνων λαὸς ἐ φυγαίχμας;

ΞΕ. Ἀγανόρεος· κατεῖδον
Δὲ πῆμ' ἄελπτον.

ΧΟ. Τραπέντα ναύφρακτον

Ἐρεῖς ὅμιλον;
ΞΕ. Πέπλον δ' ἐπέῤῥηξά γ' ἐπὶ συμφορᾷ κακοῦ.
ΧΟ. Παπαῖ, παπαῖ, παπαῖ, παπαῖ.
ΞΕ. Καὶ πλεῖον ἢ παπαῖ μὲν οὖν·
ΧΟ. Δίδυμα γάρ ἐστι καὶ τριπλᾶ.
ΞΕ. Λυπρὰ, χάρματα δ' ἐχθροῖς.
ΧΟ. Καὶ σθένος δ' ἐκολούσθη.
ΞΕ. Γυμνός εἰμι προπομπῶν.
ΧΟ. Φίλων ἄταισι ποντίαισι.
ΞΕ. Δίαινε, δίαινε, πῆμα· πρὸς δόμους δ' ἴθι.
ΧΟ. Αἶ, αἶ, αἶ, αἶ, δύα, δύα.
ΞΕ. Βόα νῦν ἀντίδουπά μοι.
ΧΟ. Δόσιν κακὰν κακῶν κακοῖς.
ΞΕ. Ἴυζε μέλος ὁμοῦ τιθείς.
ΧΟ. Ὀτοτοτοτοῖ.
ΞΕ. Βαρεῖά γ' ἅδ' ἁ συμφορά.
ΧΟ. Οἴμοι μάλα καὶ τόδ' ἀλγῶ.
ΞΕ. Ἔρεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν.
ΧΟ. Διαίνομαι γοέδνος ὤν.
ΞΕ. Βόα νῦν ἀντίδουπά μοι.
ΧΟ. Μέλειν πάρεστι δέσποτα.
ΞΕ. Ἐπορθίαζε νῦν γόοις.
ΧΟ. Ὀτοτοτοτοῖ.
Μέλαινα δ' αὖ μεμίξεταί
Μοι καὶ στονόεσσα πλαγά.
ΞΕ. Καὶ στέρν' ἄρασσε, κἀπιβόα τὸ Μύσιον.
ΧΑ. Ἄνια, ἄνια.
ΞΕ. Καί μοι γενείου πέρθε λευκήρη τρίχα.
ΧΟ. Ἄπριγδ', ἄπριγδα, μάλα γοέδνα.
ΞΕ. Ἄϋτει δ' ὀξύ.
ΧΟ. Καὶ τάδε ἔρξω.
ΞΕ. Πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν.
ΧΟ. Ἄνια, ἄνια.

ΞΕ. Καὶ ψάλλ᾽ ἔθειραν, καὶ κατοίκτιζε στρατόν.
ΧΟ. Ἄπριγδ᾽, ἄπριγδα, μάλα γοεδνά.
ΞΕ. Διαίνου δ᾽ ὄσσε.
ΧΟ. Τέγγομαί τοι.
ΞΕ. Βόα νῦν ἀντίδουπά μοι.
ΧΟ. Οἶ, οἶ, οἶ, οἶ.
ΞΕ. Αἰακτὸς ἐς δόμους κίε.
ΧΟ. Ἰὼ, ἰὼ, Περσὶς αἶα δύσβατος.
ΞΕ. Ἰὼ δὴ κατ᾽ ἄστυ.
ΧΟ. Ἰὼ δῆτα, ναὶ, ναί.
ΞΕ. Γοᾶσθ᾽ ἁβροβάται.
ΧΟ. Ἰὼ, ἰὼ, Περσὶς αἶα δύσβατος.
ΞΕ. Ἢ, ἢ, ἢ, ἢ, τρισκάλμοισιν,
Ἢ, ἢ, ἢ, βάρισιν ὀλόμενοι.
ΧΟ. Πέμψω σε δυσθρόοις γόοις.

ΕΙΣ ΠΕΡΣΑΣ

ΣΧΟΛΙΑ

ΠΡΩΤΑ, ΔΕΥΤΕΡΑ ΑΝΕΚΔΟΤΑ,

ΤΡΙΤΑ ΜΕΤΡΙΚΑ.

ΣΧΟΛΙΑ ΠΡΩΤΑ.

Α΄.

ϒ. 1. ΤΑΔΕ ΜΕΝ ΠΕΡΣΩΝ. Τοῦτο δεικτικῶς οἷον φησί τις πρὸς ἑαυτὸν, ὅτι τάδε καὶ ταῦτα, πιστὰ καὶ πιστώματα καλεῖται τῶν Περσῶν τῶν πορευθέντων εἰς τὴν Ἑλλάδα γῆν. Ἀντὶ τοῦ, ἡμεῖς πιστοὶ χρηματοφύλακες τῶν Περσῶν καλούμεθα, καὶ ἐσμὲν ἐπόπται τῶν οἴκων αὐτῶν· οὕστινας ἡμᾶς αὐτὸς ὁ Ξέρξης ὁ βασιλεὺς, ὁ τοῦ Δαρείου υἱὸς, ὡς πρεσβύτας καὶ ἐντίμους ὄντας, τοῦτο γὰρ δηλοῖ τὸ κατὰ πρεσβείαν, προέκρινε τῶν ἄλλων, ἐφορεύειν, ἤτοι ἄρχειν, καὶ ἐπόπτας εἶναι καὶ ἐπιτηρητὰς τῆς χώρας αὐτοῦ, μὴ δυναμένους πολεμεῖν. Τὸ δὲ πιστὰ, τινές φασιν, ὅτι ὑποπτεύσαντες τοὺς κατὰ χορὸν ἑαυτοὺς λέγειν πιστώματα Περσῶν. Ἀγνοοῦσι δὲ ὅτι πόλις ἐστὶ Περσῶν ἔσωθεν, Πίστειρα καλουμένη, ἣν συγκόψας ὁ ποιητὴς, πίστα ἔφη.

3. ΚΑΙ ΤΩΝ ΑΦΝΕΩΝ. Λείπει τὰ βασίλεια.

6. ΔΑΡΕΙΟΓΕΝΗΣ. Δαρείου υἱός.

8. ΑΜΦΙ ΔΕ ΝΟΣΤΩι. Ταράσσεται, φησὶ, καὶ θορυβεῖται ἡ ψυχὴ ἔσωθεν, τοῦτο γὰρ θυμὸς δηλοῖ, κακὰ μαντεύων περὶ τῆς ὑποστροφῆς τοῦ Ξέρξου, καὶ τῆς πολυχρύσου καὶ πλουσίας στρατιᾶς τῶν Περσῶν. Ὁμηρικῶς δὲ πρῶτον τὸν βασιλέα ἔταξεν, εἶτα τοὺς ὑπηκόους· φησὶ γὰρ, Ἀτρεῖδαί τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί.

12. ΠΑΣΑ ΓΑΡ ΙΣΧΥΣ ΑΣΙΑΤΟΓΕΝΗΣ ΟΙΧΩΚΕ. Πᾶσα γὰρ ἡ δύναμις ἡ Ἀσιατογενὴς, ἤγουν ἡ Περσικὴ, ἡ ἐν τῇ Ἀσίᾳ γεννηθεῖσα, παρεγένετο καὶ ἐπορεύθη μετὰ τοῦ βασιλέως εἰς τὴν Ἑλλάδα. Ἄλλως. Οἴχωκεν, ἀπόλωλεν ἡ πᾶσα δύναμις τῶν Περσῶν.

13. ΝΕΟΝ Δ᾽ ΑΝΔΡΑ ΒΑΥΖΕΙ. Ἤτοι νεότητα πᾶσαν τῶν Περσῶν ἀνακαλεῖται ἡ Ἀσία. Λείπει δὲ τοῦτο. Γράφεται δὲ καὶ ἑὸν, ἤτοι τὸν ἴδιον ἄνδρα.

16. ΗΔ᾽ ΕΚΒΑΤΑΝΩΝ. Ὅτι Ἀκεσσαῖα πρότερον ἐκαλεῖτο ἀπὸ Ἀκεσσαίου, τὰ νῦν Ἐκβάτανα λεγόμενα.

17. ΚΑΙ ΤΟ ΠΑΛΑΙΟΝ ΚΙΣΣΙΝΟΝ ΕΡΚΟΣ. Ἔστι καὶ τοῦτο πόλισμα Περσῶν. Οἵ τινες, φησὶ, προλιπόντες τὸ ἄστυ τῶν Σούσων καὶ τῶν Ἐκβατάνων, καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος, ἔβαν καὶ ἐπορεύθησαν εἰς Ἑλλάδα. Οἱ μὲν ἔφιπποι, οἱ δὲ διὰ πλοίων, ἄλλοι δὲ πεζοί· παρέχοντες καὶ ποιοῦντες στῖφος καὶ πύκνωμα τοῦ πολέμου. Τινὲς δὲ τὸ παρέχοντες, ἀντὶ τοῦ ὄντες, λέγουσιν. Ἕτεροι δὲ ἀντὶ τοῦ διδόντες, καὶ τὸ πολέμου, πολέμῳ φασίν.

21. ΟΙΟΣ ΑΜΙΣΤΡΗΣ. Βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὑποτεταγμένοι δὲ τῷ Πέρσῃ. Τὰ μὲν τῶν ὀνομάτων ἱστόρησεν, τὰ δὲ τελείως ἔπλασεν. Οἷος ἦν ὁ Ἀμίστρης, καὶ ὁ Ἀρταφρένης, καὶ ὁ Ἀστάσπης, ταγοὶ καὶ ἡγεμόνες τῶν Περσῶν· σοῦνται καὶ ὁρμῶσι πρὸς τὴν Ἑλλάδα· βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὕποχοι δὲ καὶ ὑποκλινεῖς καὶ ὑποτεταγμένοι μεγάλῳ βασιλεῖ, τῷ Πέρσῃ δηλονότι. Κατὰ δέ τινας ἐστὶν ὑπέρθεσις ἐν τῷ Ἀρταφρένης, διὰ τὸ μέτρον.

26. ΤΟΞΟΔΑΜΑΝΤΕΣ. Τοξόται, διὰ τῶν τόξων δαμάζοντες τοὺς ἀντιπάλους· καὶ ἱππικοὶ, φοβεροὶ μὲν εἰς τὸ θεαθῆναι, τοῦτ᾽ ἔστιν, ἱκανοὶ φοβεῖν ἐκ τῆς ὄψεως, ἐπιτήδειοι δὲ καὶ δεξιοὶ πρὸς πόλεμον, ἐν τλήμονι καὶ καρτερικῇ καὶ γενναίᾳ δόξῃ καὶ γνώμῃ ψυχῆς.

28. ΔΟΞΗι. Γνώμῃ. Ἢ φιλοτιμίᾳ. Ἤ, ἐνυποστάτῳ δοκήσει καὶ πείσματι ψυχῆς.

29. ΙΠΠΙΟΧΑΡΜΗΣ. Ὁ διὰ τῶν ἵππων εἰς τὴν μάχην πορευόμενος.

33. ΑΛΛΟΥΣ Δ' Ο ΜΕΓΑΣ. Ἄλλους δὲ, φησὶν, ἔπεμψε συμμάχους τῶν Περσῶν ὁ μέγας καὶ ὁ πολλὰ θρέμματα ἔχων Νεῖλος. Ὑποχείριοι γὰρ ἦσαν Περσῶν τότε οἱ Αἰγύπτιοι. Εἶτα καταλέγει τίνες ἦσαν οἱ ἀπ' Αἰγύπτου, καί φησιν, ὁ Σουσισκάνης, καὶ ὁ Πηγασταγὼν ὁ Αἰγυπτιογενής. Τινὲς δὲ διαιροῦσι τὸ Σουσισκάνης, καὶ πηγὰς καὶ ταγών. Τὰ γὰρ ὀνόματα ὁ ποιητὴς πέπλακε, καὶ οὐκ ἔστιν Αἰγυπτιακά. Ἕτεροι δὲ τὸ πηγὰς καὶ τὸ ταγὼν, ὡς ἓν ἀναγινώσκουσι, πηγασταγών.

39. ΕΛΕΙΟΒΑΤΑΙ. Τὸ Αἰγύπτιον ἕλος οἰκοῦντες. Ἡ κοινῶς Αἰγύπτιοι λέγονται· ἑλώδης γὰρ ἡ Αἴγυπτος. Παρά τισι δὲ ἐλειοβάται, οἱ ἐπὶ ἕλους ἐλαύνειν δυνάμενοι ναῦς, ὅπερ ἐστὶ τῶν δυσχερεστάτων. Τινὲς δὲ εἰς τὸ ἐλειοβάται στίζοντες, τὸ ἑξῆς, ἐρέται δεινοὶ, λέγουσιν, ἀντὶ τοῦ κωπηλάται νηῶν ἐπιτήδειοι.

41. ΑΒΡΟΔΙΑΙΤΩΝ. Τοιοῦτοι γὰρ ὄντως οἱ Λυδοί· οὓς τὰς Σάρδεις οἰκοῦντας, Κῦρος ὁ τῶν Περσῶν βασιλεὺς, ὁ τοῦ Καμβύσου πατὴρ πολεμήσας, κατεστρεψάσατο, καὶ ὑποχειρίους ἑαυτῷ πεποίηκεν. Ἁβροδίαιτοι δὲ οὗτοι· ὅθεν καὶ τὸ παρ' Ἀνακρέοντι, Λυδοπαθεῖς τινὲς, ἀντὶ τοῦ ἡδυπαθεῖς. Καὶ τὸ περιφερόμενον, μήτε μοι Λυδῶν καρύκκας, μήτε μαστίγων ψόφους τρυφηλοὺς αὐτοὺς παριστάνει. Καὶ ὁ Λυδοφοίτης δὲ μυροπώλης ταύτην τὴν τρυφὴν δηλοῖ. Καὶ τὴν βάκχαριν δὲ ἔνιοι μύρον Λυδῶν ἔφασαν.

42. ΟΙΤ' ΕΠΙΠΑΝ ΗΠΕΙΡΟΓΕΝΕΣ. Οἱ δι' ὅλου τὴν ἤπειρον οἰκοῦντες.

43. ΤΟΥΣ ΜΗΤΡΑΓΑΘΗΣ. Οὕς τινας Λυδοὺς ἐξορμῶσι καὶ ἐξάγουσι καὶ παρακινοῦσι πρὸς τὴν Ἑλλάδα, ἐποχουμένους ἐν πολλοῖς ἅρμασι, Μητραγαθὴς ὁ Ἀρκεύς τε ἀγαθὸς, ἡγεμόνες οἰκονομοῦντες αὐτοὺς, καὶ αἱ πλούσιαι Σάρδεις. Οὗτοι γὰρ τὰς Σάρδεις κατῴκουν.

44. ΔΙΟΠΟΙ. Οἱ διέποντες, ἡγεμόνες.

47. ΔΙΡΡΥΜΑ ΤΕ. Εἰπὼν πολλοῖς ἅρμασι τοὺς Λυδοὺς ἐποχεῖσθαι, παρακατιὼν τὴν ἁρματηλασίαν, καὶ ἐκ πόσων ἵππων αὐτὴ συνίστατο, ἐδήλωσεν, εἰρηκὼς, τέλη, ἅρματα δηλαδὴ, ἐξορμῶσι τῶν Σάρδεων τέθριππα καὶ ἐξάϊππα. Ἢ τέλη, τὰ τάγματα. Ἐκ τούτου δὲ τῶν ἵππων τὸ πλῆθος δηλοῖ.

49. ΠΕΛΑΤΑΙ. Ἔνοικοι, γείτονες.

51. ΛΟΓΧΗΣ ΑΚΜΟΝΕΣ. Ἀκίνητοι ὑπὸ λόγχης, ὡς ἄκμων ὑπὸ σφυρῶν.

52. ΒΑΒΥΛΩΝ Δ' Η ΠΟΛΥΧΡΥΣΟΣ. Ἡ πλουσία δὲ Βαβυλὼν πέμπει πάμμικτον ὄχλον. Εἶτα ἑρμηνεύων τοῦτο, φησὶ, ναῶν τε ἐπόχους, ἤτοι λαὸν ναυτικὸν, ταῖς ναυσὶν ἐποχούμενον, καὶ πιστοὺς, θαῤῥοῦντας φρονήματι τοξικῷ, ἤτοι ἐμπείρους τῆς τοξικῆς.

56. ΤΟ ΜΑΧΑΙΡΟΦΟΡΟΝ Τ' ΕΘΝΟΣ. Κοινῶς ἁπάντων Περσῶν.

58. ΥΠΟΠΟΜΠΑΙΣ. Προτροπαῖς.

59. ΤΟΙΟΝΔ' ΑΝΘΟΣ. Τοιοῦτο καλλώπισμα καὶ τὸ ἐξαίρετον μέρος τῶν ἀνδρῶν τῆς γῆς τῆς Περσίδος οἴχεται καὶ πορεύεται πρὸς τὴν Ἑλλάδα· περὶ οὓς πᾶσα γῆ Ἀσιῆτις ἡ ἀναθρεψαμένη αὐτοὺς, στενάζει ἐν πόθῳ μαραντικῷ καὶ καυστικῷ.

63. ΤΟΚΕΕΣ Τ' ΑΛΟΧΟΙ ΤΕ. Οἱ πατέρες δὲ αὐτῶν καὶ αἱ ὁμόκοιτοι αὐτῶν γυναῖκες τρομέουσι τὸν χρόνον τείνοντα καὶ μηκυνόμενον τῇ τῶν ἡμερῶν παραφορᾷ, τὸν ἡμερόλεγδον, ἤτοι τὸν ἐκ τῶν ἡμερῶν καταριθμούμενον, παρὰ τὸ ἡμέρα καὶ τὸ λέγω τὸ ἀριθμῶ.

65. ΠΕΠΕΡΑΚΕ ΜΕΝ Ο ΠΕΡΣΕΠΤΟΛΙΣ. Ἐπέρασε μὲν, φησὶν, ἤδη

εἰς τὴν ἀντίπορον γείτονα χώραν, ἤτοι τὴν Εὐρώπην, οἱ γὰρ Πέρσαι τῆς Ἀσίας εἰσὶ κάτοικοι, ὁ τοῦ βασιλέως Ξέρξου στρατὸς, ὁ τὰς πόλεις πορθῶν, ἀμείψας καὶ ἀλλάξας τὸν πορθμὸν τῆς θυγατρὸς τοῦ Ἀθάμαντος Ἕλλης, ἤτοι τὸν Ἑλλήσποντον, ἐν σχεδίᾳ λίνῳ δεδεμένῃ. Γεφυρώσας γὰρ τὴν θάλασσαν διὰ τῶν νηῶν, πεζῇ ταύτην τὸν στρατὸν αὐτοῦ περάσαι πεποίηκεν. Ταῦτα δὲ κωμῳδεῖται Εὔπολις ἐν Μαρικᾷ, Πεπέρακε μὲν ὁ περσέπτολις ἤδη μαρικας.

70. ΑΘΑΜΑΝΤΙΔΟΣ ΕΛΛΗΣ. Ἀθάμας ἔσχε γυναῖκα ἐξ ἧς τὴν Ἕλλην καὶ τὸν Φρύξον ἐγέννησε· τελευτησάσης δὲ τῆς μητρὸς αὐτῶν, ἔλαβε τὴν Ἰνὼ, ἥτις τοῖς παισὶ φθονοῦσα τοῦ Ἀθάμαντος, πρωτοτύπους τοὺς τῆς χώρας πάντας λαβοῦσα καρποὺς, ἐλυμήνατο αὐτοὺς, ὥστε μηκέτι σπειρομένους ἀναδίδοσθαι. Λιμοῦ δὲ ἐπὶ τῆς χώρας ἐπικρατήσαντος, οἱ ἐγχώριοι ἐβουλεύσαντο πρὸς τὸν Ἀπόλλωνα ἀπελθεῖν, καὶ μαντεύσασθαι, ὥστε γνῶναι τὸ αἴτιον. Τούτους δὲ ἡ Ἰνὼ δεξιωσαμένη, πεποίηκε τοῦ μαντείου ἐπαναστρέφοντας μηδὲν ἕτερον λέγειν, ἢ ὅτι τὴν Ἕλλην καὶ τὸν Φρύξον αὐτῷ τυθῆναι ὁ Ἀπόλλων εἴρηκεν. Ἐπήκοος οὖν ὁ Ἀθάμας τοῦ τοιούτου χρησμοῦ γενόμενος, τοῖς παισὶν αὐτοῦ ἐν τοῖς ποιμνίοις διατρίβουσιν ἐμήνυσε, κριὸν λαβοῦσι τὸν πρώτιστον, θῦσαι τοῦτον τῷ Ἀπόλλωνι. Λαβόντων δὲ τὸν κριὸν καὶ ἐπανερχομένων, ὁ κριὸς τὸ κατ᾽ αὐτῶν σκευωρούμενον αὐτοῖς ὑπεδήλωσε. Φυγῇ γοῦν, τῇ συμβουλῇ τούτου, ἐχρήσαντο, αὐτῷ ἐποχούμενοι καὶ τὸν πλοῦν διαπεραιούμενοι. Ἐν δὲ τῷ διαπεραιοῦσθαι τούτους, ἡ μὲν Ἕλλη μέσον τοῦ πόντου πέπτωκεν, ἀφ᾽ ἧς ὁ τοιοῦτος ἐκλήθη Ἑλλήσποντος· ὁ δὲ Φρύξος ἔν τινι προσελιμενίσθη λιμένι, ἀφ᾽ οὗ ὁ τοιοῦτος Φρύξου λιμὴν ὀνομάζεται.

71. ΠΟΛΥΓΟΜΦΟΝ ΟΔΙΣΜΑ. Ἀμφὶ τῷ αὐχένι τοῦ πόντου ζυγὸν βαλὼν, πολύγομφον ὅδισμα καὶ βάδισμα, τῶν τῆς θαλάσσης δηλονότι νώτων ἄνωθεν. Ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον τῆς θαλάσσης, ταῖς ναυσὶ συνδήσας καὶ γῆν ἐπιβαλὼν ἄνωθεν, ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν. Διὸ πολύγομφον ὅδισμα εἶπε. Γράφεται καὶ ἔρεισμα, τὴν ναῦν.

73. ΠΟΛΥΑΝΔΡΟΥ. Ὁ θούριος δὲ καὶ ὁ πολεμικώτατος ἄρχων ὁ Ξέρξης τῆς πολυάνδρου Ἀσίας, ἐπὶ πᾶσαν χθόνα, τὴν Εὐρώπην δηλονότι, ἐλαύνει ποιμανόριον θεῖον· διχόθεν, ἐκ γῆς καὶ θαλάσσης. Ποιμανόριον δὲ τὸ πλῆθος τὸ στρατευτικὸν, τὸ ἀνδρικὸν πλῆθος. Σημαίνει δὲ τὸ στράτευμα, παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. Ὅθεν ποιμανόριον, τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον βασίλειον.

78. ΟΧΥΡΟΙΣΙ ΠΕΠΟΙΘΩΣ. Πεποιθὼς καὶ θαῤῥῶν ἐφέταις ἢ τοξόταις καὶ ἡγεμόσι τῆς χρυσονόμου γενεᾶς, ὀχυροῖς, στυφέλοις καὶ σκληροῖς, ὁ ἰσόθεος φὼς καὶ ἀνὴρ, τοῦτ᾽ ἔστιν ὁ Ξέρξης. Τὸ δὲ χρυσονόμου, ἀντὶ τοῦ πλουσίας εἶπε· τινὲς δὲ χρυσογόνου λέγουσι, διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγενῆσθαι· ὃ καὶ βέλτιον. Ἀπογόνου γοῦν φησὶ τῆς Περσέως γενεᾶς, ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ, πολυχρύσου.

84. ΣΥΡΙΟΝ Δ᾽ ΑΡΜΑ ΔΙΩΚΩΝ. Ἀντὶ τοῦ Ἀσσύριον· οἱ γὰρ Πέρσαι τὸ πρότερον Ἀσσύριοι ἐκαλοῦντο.

85. ΔΟΥΡΙΚΛΥΤΟΙΣ ΑΝΔΡΑΣΙ. Τοῖς Ἀθηναίοις.

86. ΤΟΞΟΔΑΜΝΟΝ ΑΡΗΝ. Τὸν τῶν Περσῶν. Τοξόται γάρ.

87. ΔΟΚΙΜΟΣ Δ᾽ ΟΥΤΙΣ. Ἀνδρεῖος, δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. ΥΠΟΣΤΑΣ. Ἀντιστὰς, ἀντιμαχεσάμενος.

89. ΕΧΥΡΟΙΣ ΕΡΚΕΣΙΝ. Τάξεσιν.

90. ΑΜΑΧΟΝ ΚΥΜΑ ΘΑΛΑΣΣΗΣ. Τὴν προσβολὴν τῶν Περσῶν.

91. ΑΠΡΟΣΟΙΣΤΟΣ. Ἀκαταμάχητος.

93. ΔΟΛΟΜΗΤΙΝ Δ᾽ ΑΠΑΤΑΝ. Ὡς ἔδει παρατέτακται ὁ Πέρσης. Εἰ δὲ ἡ τοῦ θεοῦ ἐπιβουλὴ τὰ τῆς νίκης ἀναβάλλεται, τίς ὁ νικήσων θεόν;

95. ΠΗΔΗΜΑΤΟΣ ΕΥΠΕΤΕΟΣ ΑΝΑΙΣΣΩΝ. Εὐκινήτου. Ὅμηρος, Ἡ δ' ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας Πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν Βλάπτουσ' ἀνθρώπους. Ἡ γὰρ ἐκ θεοῦ, φησὶν, ἀμαύρωσις καὶ δόλωσις, ἄφυκτός ἐστιν. Ἅμα γὰρ δολοῖ καὶ προσαίνει καὶ κακοποιεῖ.

102. ΘΕΟΘΕΝ ΓΑΡ. Θεόθεν γὰρ ἡ μοῖρα κατεκράτησε τοῖς Πέρσαις, ὥστε καὶ πολέμους καὶ μάχας ἐγείρειν. Τοῦτ' ἔστιν, ἀνέκαθεν ἀνδρεῖοί εἰσι, καὶ κατὰ τὴν εἱμαρμένην πολεμοῦσι. Πολεμικοὶ δὲ ὄντες, οὐχ ἡττηθήσονται.

104. ΕΠΕΣΚΗΨΕ. Ἀντὶ τοῦ, εἰδέναι ἐποίησε.

105. ΠΟΛΕΜΟΥΣ ΠΥΡΓΟΔΑΙΚΤΟΥΣ. Οἳ τοὺς πύργους κατακόπτουσι καὶ κατερείπουσιν. Ἱππιοχάρμας δὲ κλόνους, τοὺς πολεμικοὺς θορύβους καὶ συντετριμμένους, καὶ τούτοις οἱ ἵπποι χαρίζουσι.

108. ΕΜΑΘΟΝ Δ' ΕΥΡΥΠΟΡΟΙΟ. Ἔμαθον δὲ ἐσορᾶν καὶ βλέπειν πόντιον ἄλσος τῆς εὐρυπόροιο θαλάσσης, ἤτοι διὰ θαλάσσης τὰς ὁδοὺς αὐτῶν ποιεῖν, πολιαινομένης αὐτῆς ἐν πνεύματι λάβρῳ, ἀφριζομένης δηλαδὴ τῇ κωπηλασίᾳ, ἢ τῷ βιαίῳ ἀνέμῳ· πίσυνοι καὶ θαῤῥοῦντες πείσμασι λεπτοδόμοις, τοῖς λεπτῶς κατεσκευασμένοις, ἤτοι ταῖς ναυσί. Πλὴν οὐχ οἱ Πέρσαι ναυτικοὶ, ἀλλ' οἱ ὑπήκοοι αὐτῶν· ὥστε τὸ ἔμαθον, ἀντὶ τοῦ μαθεῖν ἐποίησαν, φησὶν, οἱ Πέρσαι τοὺς ὑπηκόους αὐτῶν.

113. ΛΑΟΠΟΡΟΙΣ ΤΕ. Ταῖς τοὺς λαοὺς διαπορθμευούσαις, ἢ ταῖς ἀπὸ τῶν κωπηλασιῶν πλάναις, ταῖς ὑπὸ τῶν λαῶν γινομέναις· οὐχ ὡς αὐτῶν τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων.

114. ΤΑΥΤΑ ΜΟΙ ΜΕΛΑΓΧΙΤΩΝ. Διὰ ταῦτα ἡ φρὴν μου ἡ μελαγχίτων καὶ πενθήρης ἐστὶν, ἡ ἀμφιμέλαινα, ἀμύσσεται φόβῳ, ἤτοι διακόπτεται ὑπὸ τοῦ φόβου· ἀσυνδέτως. Ἢ οὕτως, ἡ φρὴν μου ἡ μελαγχίτων, ἤτοι ἡ συνετὴ, καὶ ἐν βάθει κειμένη, καὶ ἀφανὴς οὖσα, περὶ φόβῳ διακόπτεται. Εἴρηται δὲ παρὰ τὸ,

——— σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις.

Τοῖς γὰρ τοῦ σώματος πάθεσι δοκοῦμεν συμπάσχειν καὶ τὴν ψυχήν.

116. ΟΑ. Περσικὸν θρήνημα.

117. ΜΗ ΠΟΛΙΣ ΠΥΘΗΤΑΙ. Μὴ πύθηται, φησὶ, καὶ ἀκούσῃ τὶς τῶν ἑτέρων πόλεων κενὸν ἀνδρῶν ὂν τὸ ἄστυ τὸ τῆς Σουσίδος. Οὕτω γὰρ ἂν τὸ Κισσίων πόλισμα ἀντίδουπον ἔσεται, ἤτοι ἀντηχήσει τοῖς θρήνοις ἐκ τοῦ ἑκατέρου μέρους. Μὴ ἀντηχήσῃ, φησὶ, θρῆνον αὐτῶν τελευτησάντων.

122. ΟΑ ΤΟΥΤ' ΕΠΟΣ. Ὁ γυναικοπληθὴς ὅμιλος ἐκεῖσε ἀπύων ὀὰ, τοῦτο δηλοῖ τὸ ἔπος. Τὸ δὲ ἀπύων, οὕτως νοητέον· ἢ, ἔσται ἀπύων καὶ φωνῶν, ἔξωθεν λαμβανομένου τοῦ ἔσται. Ἢ τὴν μετοχὴν ἀντὶ ῥήματος τοῦ ἀπύσει.

125. ΠΕΣΗι ΛΑΚΙΣ. Ἀπὸ κοινοῦ πάλιν τὸ μὴ, ἵν' ᾖ οὕτως, μὴ πέσῃ ῥῆξις ἐν τοῖς πέπλοις τοῖς βυσσίνοις, ἤτοι μὴ διαῤῥήξωσι τὰ ἱμάτια αὐτῶν.

126. ΠΑΣ ΓΑΡ ΙΠΠΗΛΑΤΑΣ. Πᾶς γὰρ ἱππικὸς λαὸς, καὶ πεδοστιβὴς, ἤτοι τῷ πέδῳ καὶ τῇ γῇ περιπατῶν, καὶ πεζῇ βαδίζων, καταλελοίπασι τὴν πόλιν, ἀκολουθοῦντες τῷ Ξέρξῃ, ὥσπερ τὸ σμῆνος τῶν μελισσῶν ἕπεται τῷ ἀρχηγῷ αὐτῶν. Λέγεται γὰρ ὡς εἰ μὴ ἀρχηγὸς τῶν μελισσῶν πρότερον πετάσει, ἄλλως οὐχ ἵπτανται αἱ ἑτέραι.

130. ΤΟΝ ΑΜΦΙΖΕΥΚΤΟΝ. Ἐξαμείψας καὶ περάσας τὸν ἀμφίζευκτον ἅλιον πρῶνα τὸν κοινὸν τῆς ἀμφοτέρας γῆς, τῆς Εὐρώπης δηλαδὴ καὶ τῆς Ἀσίας. Ἀμφίζευκτον δὲ, τὸν ζευγνύντα ἄμφω τὰς ἠπείρους, ἢ ζευγνύμενον ἐξ ἀμφοῖν. Ἢ τὸν ὑποζευχθέντα· βατὸν γὰρ αὐτὸν ἐποίησεν ὁ Ξέρξης.

132. ΠΡΩΝΑ. Τὸν προνεύοντα καὶ εἰς τὰς ἀμφοτέρας ἠπείρους. Ἢ, τὸν κοινὸν ἑκατέρας γῆς. Μεταξὺ γάρ ἐστιν Εὐρώπης καὶ Ἀσίας. Ἄλλως. Πρῶνα ἀμφοτέρας αἴας κοινὸν, οἱ μὲν, τὸν Ἑλλήσποντον, οἱ δὲ Ταῦρον τὸ ὄρος.

133. ΛΕΚΤΡΑ Δ᾽ ΑΝΔΡΩΝ. Τὰ λέκτρα δὲ τῶν ἀνδρῶν, τῇ αὐτῶν ἀποδημίᾳ καὶ ἀπουσίᾳ, πίμπλανται καὶ πληροῦνται τοῖς δάκρυσιν. Αἱ δὲ Περσίδες γυναῖκες, ἀκροπενθεῖς καὶ ἐπιμανῶς πενθοῦσαι.

136. ΕΚΑΣΤΗ ΠΟΘΩι. Ἑκάστη γοῦν Περσὶς γυνὴ τὸν ἑαυτῆς εὐνατῆρα καὶ ἄνδρα ἀποπεμψαμένη τὸν αἰχμήεντα καὶ θοῦρον καὶ πολεμικὸν, λείπεται αὐτὴ τοῦ λοιποῦ μονόζυξ καὶ μόνη.

140. ΑΛΛ᾽ ΑΓΕ ΠΕΡΣΑΙ. Ἀλλὰ φέρε ὦ Πέρσαι, ἐνεζόμενοι καὶ ἐγκαθήμενοι εἰς τοῦτο τὸ ἀρχαῖον στέγος, ἤγουν εἰς ταύτην τὴν ἀρχαίαν καθέδραν, φροντίσωμεν καὶ βουλευσώμεθα πῶς πράσσει καὶ τί ποιεῖ ἐν Ἑλλάδι ὁ Ξέρξης χρεία δὲ προσήκει. Τὸ δὲ, ἀντὶ τοῦ γάρ. Ἡ χρεία γὰρ προσῆκον ποιεῖ τὸ βουλεύεσθαι.

145. ΤΟ ΠΑΤΡΩΝΥΜΙΟΝ. Τὸ πατρωνύμιον γένος, ἤτοι ὁ κατὰ πατέρα συγγενὴς ἡμῖν, τοῦτ᾽ ἔστιν, ὁ ἐκ προγόνου ἰθαγενής.

147. ΠΟΤΕΡΟΝ ΤΟΞΟΥ ῬΥΜΑ. Πότερον ἄρα, φησὶν, ἡ ὁρμὴ τοῦ τόξου ἐστὶ τὸ νικῆσαν καὶ ἡττῆσαν τοὺς Ἀθηναίους, ἢ ἰσχὺς τῆς δορυκράνου λόγχης κεκράτηκε καὶ ἐνίκησε τοὺς Πέρσας δηλαδή. Οἱ μὲν γὰρ Πέρσαι, τοξόται· οἱ δ᾽ Ἀθηναῖοι, λογχηφόροι. Ὃ δὲ λέγει, ἐστὶ τοιοῦτον, ἆρα οἱ Πέρσαι ἐνίκησαν τοὺς Ἀθηναίους, ἢ οἱ Ἀθηναῖοι τοὺς Πέρσας;

150. ΑΛΛ᾽ ΗΔΕ ΘΕΩΝ. Ἀλλ᾽ αὕτη ἡ τοῦ βασιλέως μήτηρ, ἡ δέσποινα δὲ ἐμὴ, ὑπάρχουσα φῶς τοῖς ὀφθαλμοῖς ἡμῶν ἴσον τῶν θεῶν, ὁρμᾶται ἤτοι ἔρχεται. Λέγει δὲ τὴν Ἄτοσσαν, ἥτις ἦν θυγάτηρ μὲν Κύρου, γυνὴ δὲ Δαρείου, μήτηρ δὲ Ξέρξου, κατὰ Ἡρόδοτον.

153. ΚΑΙ ΠΡΟΣΦΘΟΓΓΟΙΣ ΔΕ. Καὶ προσηγόροις δὲ λόγοις πρέπον αὐτὴν προσφωνεῖν, ἤτοι πρέπει χαιρετίσαι αὐτήν. Εἶτα κοινῶς ὁ χορὸς χαιρετίζων αὐτὴν, φησὶν, ὦ χαῖρε βασίλισσα τῶν Περσίδων τῶν βαθυζώνων. Βαθύζωνοι δὲ αἱ Περσίδες, διὰ τὸ κροσσωτὰς ζώνας ἔχειν. Ταῦτα δὴ ἀκούσασα ἡ Ἄτοσσα τοῦ χοροῦ εἰπόντος, εἴ τι μὴ ἡ πρὶν εὐτυχία μεθέστηκε, φησὶ, διὰ ταῦτα καὶ ἐγὼ παραγίνομαι ἐνταῦθα πρὸς ὑμᾶς, καταλείψασα τοὺς χρυσῷ κεκοσμημένους οἴκους, καὶ τὸν βασιλικὸν κοιτῶνα· καὶ ἐμὲ κατὰ τὴν καρδίαν ἔσωθεν κόπτει φροντίς· εἰς ὑμᾶς δὲ ἐρῶ λόγον, οὐδαμῶς ἐμαυτῆς οὖσα, ἤτοι οὐδόλως ἐμαυτῆς κυρία τυγχάνουσα, οὐκ ἄφοβος. Δονοῦμαι γὰρ καὶ τῶν φρενῶν ἐξίσταμαι, τῷ ὀνείρῳ.

Β΄.

157. ΘΕΟΥ ΜΕΝ ΕΥΝΗΤΕΙΡΑ ΠΕΡΣΩΝ. Τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ Πέρσαι.

158. ΔΑΙΜΩΝ ΠΑΛΑΙΟΣ. Ἡ εὐδαιμονία.

163. ΜΕΓΑΣ ΠΛΟΥΤΟΣ. Δέδοικα, φησὶ, μήπως ὁ μέγας πλοῦτος καὶ ἡ εὐδαιμονία, κονίσσας ἢ κονισθεὶς καὶ βληθεὶς ἐν τῷ ποδὶ, καὶ ῥιφεὶς καὶ λακτισθεὶς εἰς οὖδας, ἀνατρέψῃ τὸν ὄλβον ὃν ὁ Δαρεῖος εἷλεν. Ἤτοι τὸ κλέος ὃ ἔλαβεν ὁ Δαρεῖος καὶ εἰς μέγα ὕψωσεν, οὐ χωρὶς τῶν θεῶν.

165. ΤΑΥΤΑ ΜΟΙ ΔΙΠΛΗ ΜΕΡΙΜΝ᾽ ΑΦΡΑΣΤΟΣ. Ἤτοι ἄλεκτος. Ἡ δὲ τοιάδε, μήτε χρημάτων πλῆθος σέβειν ἀνάνδρων, ἤτοι ἀνδρῶν ἐκεῖσε μὴ παρ-

όντων· μήτε τοῖς ἀχρημάτοις ἀνδράσι, δηλονότι τοῖς πένησι, λάμπειν φῶς εὐτυχὲς, ὅ ἐςι σθένος. Τῦτ᾽ ἔςιν, ἐ πάσης ἀπολαύεσιν τῆς τῦ φωτὸς ἡδονῆς οἱ πένητες. Ἑτέρε γὰρ λείποντος, τὸ τῆς εὐδοκιμήσεως, δυσχερές. Χωρὶς μὲν ἀνδρῶν ἄχρηςά εἰσι τὰ χρήματα, χωρὶς δὲ χρημάτων οἱ ἄνδρες· καὶ ἁπλῶς οἱ μὴ ἔχοντες ταῦτα, ἀνίσχυροι.

168. ΕΣΤΙ ΓΑΡ ΠΛΟΥΤΟΣ. Ἔςι γὰρ ἡμῖν πλῦτος ἀμεμφὴς καὶ ἄφθονος· δεδοίκαμεν δὲ διὰ τὸ μὴ ἔχειν ἄνδρας. Ὀφθαλμὸν γὰρ καὶ φῶς τὴν τῦ δεσπότε παρυσίαν νομίζω. ΑΜΦΙ Δ᾽ ΟΦΘΑΛΜΟΙΣ. Ἤγυν ἀμφὶ τῷ Ξέρξῃ, ὀφθαλμὸν γὰρ ἐκεῖνον καλεῖ.

169. ΠΡΟΣ ΤΑΔ᾽ ΩΣ ΟΥΤΩΣ ΕΧΟΝΤΩΝ. Πρὸς ταῦτα, φησὶ γίνεσθέ μοι σύμβυλοι τέτε τῦ λόγε, ὦ Πέρσαι, γηραλέα πιςώματα, ἤτοι ὦ ἀρχαῖοι γέροντες πιςοὶ, ὡς τέτων, ὧν εἶπον, ὅτως ἐχόντων, ἀντὶ τῦ ἀληθῶν ὄντων.

173. ΕΥ ΤΟΔ᾽ ΙΣΘΙ ΓΗΣ ΑΝΑΣΣΑ. Γίνωσκε ὦ βασίλισσα, ἐπὶ λόγε καὶ ἔργε, ἐφ᾽ ὃ ἂν δυνώμεθα πρᾶξαι καὶ εἰπεῖν, ὐ δίς σε φράσαι, ὥςε μὴ ἐν λόγῳ καὶ ἔργῳ βοηθῆσαί σοι.

176. ΠΟΛΛΟΙΣ ΜΕΝ ΑΙΕΙ. Ἡ Ἄτοσσα φησὶ πρὸς τὸν χορὸν, πολλὰ μὲν νυκτερινὰ ὀνείρατα φαντάζομαι, ἐξ ὃ καιρῦ ὁ ἐμὸς παῖς ὁ Ξέρξης διακομίσας ςρατὸν, πορεύεται καὶ ἄπεισιν εἰς τὴν γῆν τῶν Ἰαόνων, θέλων ἐκπορθῆσαι αὐτήν· ἀλλ᾽ ὐδαμῶς τοιῦτον ὄναρ φανερὸν εἶδόν ποτε, ὥσπερ ἐπὶ τῆς παρελθύσης νυκτός. Λέξω δέ σοι τῦτο. Ἰςέον δὲ ὅτι Ἰάονες οἱ Ἀθηναῖοι λέγονται, ἔκ τινος Ἰάονος βασιλεύσαντος αὐτῶν.

177. ΣΤΕΙΛΑΣ ΣΤΡΑΤΟΝ. Τῦτ᾽ ἔςι κοσμήσας. Ὁμώνυμος γάρ ἐςι λέξις. Ἔςι γὰρ ςέλλω τὸ κοσμῶ ἐξ ὃ καὶ ςολή· ςέλλω τὸ πλέω, ἐξ ὃ καὶ ςόλος· ςέλλω τὸ ἀποςέλλω, ἐξ ὃ καὶ ἀπόςολος.

181. ΕΔΟΞΑΤΗΝ ΜΟΙ ΔΥΟ ΓΥΝΑΙΚ᾽ ΕΥΕΙΜΟΝΕ. Ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τὸ, Ἐδοξάτην μοι τάδ᾽ ἠπείρῳ μολεῖν. καὶ Εὐριπίδης, Ἔδοξας ὕπνῳ τῆσδ᾽ ἀπαλλαχθεῖσα γῆς. Πρόσεχε δὲ τῇ τῦ ὀνείρε ἀναγνώσει.

185. ΓΕΝΟΥΣ ΤΑΥΤΟΥ. Ἄνδρων ὁ Ἁλικαρνασσεὺς φησὶ τὸν Ὠκεανὸν γῆμαι Πομφολύγην καὶ Παρθενόπην· σχεῖν δὲ ἐκ μὲν Παρθενόπης, Εὐρώπην καὶ Θράκην, ἐκ δὲ Πομφολύγης, Ἀσίαν καὶ Λιβύην· ἀφ᾽ ὧν τὰς ἠπείρες ὀνομασθῆναι συμβέβηκεν. Ἡ γῦν Ἄτοσσα φησὶ δύο γυναῖκας κατ᾽ ὄναρ ἰδεῖν, τὰς δύο ἠπείρες ταύτας, Ἀσίαν καὶ Εὐρώπην.

188. ΤΟΥΤΩ ΣΤΑΣΙΝ. Τέτω, φησὶ, τὼ γυναῖκε τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην λίαν ἐγὼ ἐδόκυν ὁρᾶν ςάσιν τινὰ καὶ φιλονεικίαν τεύχειν καὶ κατασκευάζειν καὶ ποιεῖν ἐν ἀλλήλαις. Παῖς δὲ ὁ ἐμὸς μαθὼν ςασιαζέσας ταύτας, κατεῖχε καὶ ἐπραΰνε καὶ ἡμέρε αὐτάς· ἤθελε γὰρ ὁ Ξέρξης εἰς ἓν ἀγαγεῖν κράτος τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν· ὑπὸ ἅρμασι δὲ ζεύγνυσιν αὐτὼ, ἀντὶ τῦ αὐτὰς, καὶ λέπαδνα, ἤτοι ζυγόλωρα τίθησιν ἐπὶ τῶν αὐχένων αὐτῶν.

191. ΛΕΠΑΔΝΑ. Οἱ παχεῖς ἱμάντες, οἷς ἀναδεσμῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν. Ἐτυμολογεῖται δὲ ἀπὸ τῦ λέπω τὸ λεπίζω, λέπανον, καὶ λέπαδνον, τινὲς δὲ λέπαδνα τὺς μασχαλιςῆρας φασί.

192. Χ' Η ΜΕΝ. Καὶ ἡ μὲν, ἤγȣν Ἀσία, ἐπυργȣ̃το καὶ ἐκοσμεῖτο καὶ ἤρετο τῇ ϛολῇ τῇδε. Δεικτικῶς δὲ τȣ̃το, ἀντὶ τȣ̃ Περσικῇ ταύτῃ, ἣν φορῶ. Εἶχε δὲ ϛόμα εὔαρκτον καὶ ὑπήκοον καὶ πειθήνιον ἐν τῷ χαλινῷ.

194. Η Δ' ΕΣΦΑΔΑΖΕ. Ἡ δὲ Εὐρώπη ἐσφάδαζε, καὶ ὥρμα καὶ ἐπήδα, καὶ διὰ τῶν χειρῶν ἐν τῇ τȣ̃ δίφρȣ βίᾳ, ῥήσσει τὸν δίφρον, καὶ ξυναρπάζει ἄνευ χαλινῶν, ἤτοι ἀχαλίνωτον γενόμενον· καὶ τὸν ζυγὸν συνθλᾷ. Πίπτει δὲ ἐκ τȣ̃ ἅρματος ὁ Ξέρξης, ȣ̃τος γὰρ ἦν ὁ ὑπὸ ζυγὸν ἔχων αὐτάς. Καὶ πατὴρ Δαρεῖος παρίςαται οἰκτείρων αὐτόν. Ἐπεὶ δὲ τȣ̃το εἶδεν ὁ Ξέρξης, αἰδεσθεὶς τὸ πτῶμα, διαῤῥηγνύει τȣ̀ς οἰκείȣς πέπλȣς. Ἄλλως· ἐσφάδαζε, ἐσκάριζε.

201. ΚΑΛΛΙΡΡΟΟΥ ΠΗΓΗΣ. Πηγή τις ἱερὰ ἀφ' ἧς ἀνιμᾶτο νᾶμα ταῖς θυσίαις ἐπιχέεσθαι· διὰ γȣ̃ν τὸ ἐξ αὐτῆς τὰς θυσίας γίνεσθαι, καλλίῤῥοον αὐτὴν ὠνόμασεν. Ἀποτροπιαςὴν δὲ τῶν ὀνείρων φασὶν εἶναι τὸν ἥλιον. Τȣ́τȣ γὰρ ἐπιλάμψαντος, οἱ ὄνειροι διασκεδάζονται.

203. ΑΠΟΤΡΟΠΟΙΣΙ ΔΑΙΜΟΣΙ. Οἷς ἀποτροπιαζόμεθα τȣ̀ς ὀνείρȣς.

204. ΘΕΛΟΥΣΑ ΘΥΣΑΙ ΠΕΛΑΝΟΝ. Πέλανος κυρίως, ὁ πεπηγὼς ῥύπος λέγεται. Ἄλλως· ὁ ἀφρὸς ὁ γινόμενος ἐν τῇ χύτρᾳ. Ἐτυμολογεῖται δὲ ἀπὸ τȣ̃ πέλω τὸ ἀναςρέφομαι· ἐνταῦθα δὲ πέλανον, τὴν θυσίαν φησί.

207. ΜΕΘΥΣΤΕΡΟΝ. Μετὰ δὲ τȣ̃το ὁρῶ κίρκον, ἤτοι ἱέρακα, σφαδάζοντα καὶ ὀξέως κινȣ́μενον ἐν τοῖς πτεροῖς, καὶ χηλαῖς, ἤτοι τοῖς ὄνυξι, τὸ κάρα καὶ τὴν κεφαλὴν τȣ̃ ἀετȣ̃ διακόπτοντα. Ὁ δὲ ἀετὸς, ἤγȣν ὁ Ξέρξης, ȣ̓δὲν ἄλλο ἐποίει, ἢ μόνον παρεῖχε τῷ ἱέρακι τὸ σῶμα χρῆσθαι ὡς βȣ́λεται. Ἀετὸν οὖν τὸν Ξέρξην φησὶ, διὰ τὸ βασιλικὸν καὶ γενναῖον· ἱέρακα δὲ, τὸ τῶν Ἀθηναίων ςράτευμα, διὰ τὸ πρὸς τȣ̀ς Πέρσας ἐλάττονα ἔχειν κατὰ πολὺ τὴν δύναμιν.

213. ΟΥΚ ΥΠΕΥΘΥΝΟΣ ΠΟΛΕΙ. Οὐ τιμωρητέος, ȣ̓ δίκας ὀφείλων, διὰ τὸ ὑμᾶς αὐτὸν παρορμῆσαι, καὶ κοινῷ δόγματι γενέσθαι τὴν ἐκείνȣ ἔξοδον καὶ πρὸς τȣ̀ς Ἀθηναίȣς ἄφιξιν.

215. ΟΥ ΣΕ ΒΟΥΛΟΜΕΘΑ. Ὁ χορὸς ἀκȣ́σας τȣ̃ ὀνείρου τῆς Ἀτόσσης, φησὶ πρὸς αὐτὴν, ὦ μῆτηρ τȣ̃ Ξέρξȣ, ȣ̓δαμῶς θέλομεν ȣ̃τε ἄγαν ἐκφοβεῖν ἐν λόγοις σὲ, ἤτοι λέγειν ὅτι κακὰ ταῦτά ἐςιν ἃ εἶδες, ȣ̃τε παραθαρσύνειν, τῷ οἴεσθαι ὅτι καλά· τȣ̀ς θεȣ̀ς δὲ τȣ̀ς ȣ̓ρανίωνας πρῶτον ἐν ἱκεσίᾳ παρακαλέσασα, εἴτι κακὸν καὶ μισητὸν εἶδες, ζήτει αὐτȣ̀ς ποιεῖν ἀποσβεσιν τȣ́των, τὰ καλὰ δὲ πεπληρωμένα γενέσθαι καὶ σῶα καὶ τῷ Ξέρξῃ καὶ τῇ πόλει, δεύτερον δὲ πρέπει σὲ ἐπιθῦσαι θυσίας τῇ γῇ τε καὶ τοῖς κάτω νεκροῖς, αἴτȣ δὲ καὶ ζήτει καὶ παρακάλει τὸν Δαρεῖον, ὃν λέγεις ἰδεῖν κατ' ὄναρ, ταῦτά σοι ἀγαθὰ κάτωθεν ἀπὸ τῆς γῆς πέμπειν εἰς φάος. Ἤτοι ἀναδιδόναι σοι ἀγαθὰ τὰ ὀνείρατα ἃ εἶδες. Οἱ γὰρ ὄνειροι ἐκ τῆς γῆς ἀνέρχεσθαι λέγονται.

223. Τ' ΑΜΠΑΛΙΝ ΔΕ. Καὶ ταῦτα ἐναντία τȣ́των τῶν ἀγαθῶν αἴτȣ κατεχόμενα τῇ γῇ ἀμαυρȣ̃σθαι, ἤτοι ὑπὸ τῆς γῆς κρατηθέντα, ἀφανισθῆναι τῷ σκότει.

224. ΤΑΥΤΑ ΘΥΜΟΜΑΝΤΙΣ. Ταῦτα, φησὶ, παρῄνεσα ȣ̓ φύσει μάντις ὢν, ἀλλ' ἀπὸ λογισμȣ̃ κρίνων καὶ ἀπὸ ἐνθυμήσεως. Τȣ̃το γὰρ δηλοῖ τὸ θυμόμαντις.

225. ΤΩΝΔΕ ΧΡΙΝΟΜΕΝ ΠΕΡΙ. Τὸ φανερὸν κρίνομεν, εἰς καλὸν τὰ ὁραθέντα σοὶ ὀνείρατα ἐκϐιϐασθῆναι. Τὸ δ' ἄλλο κρίνομεν, τόδε καλὸν γενέσθαι, τὸ, ἐὰν ἀπελθοῦσα θύσῃς τοῖς θεοῖς, ὡς προέφημεν.

226. ΑΛΛΑ ΜΗΝ ΕΥΝΟΥΣ. Ἀλλὰ δὴ σὺ ὁ πρῶτος ἀκούσας τοῦ ὀνείρου, εὐνοϊκῶς συνεϐούλευσας ἐξιλεώσασθαι οὐρανίους καὶ καταχθονίους δαίμονας.

228. ΕΞΙΛΕΟΙΤΟ ΔΕ. Σὺ μὲν, φησὶν, ἐκύρωσας καὶ ἐϐεϐαίωσας ταύτην τὴν φήμην, τὸ θῦσαι δηλονότι τοῖς θεοῖς ὑπὲρ τοῦ παιδὸς τοῦ ἐμοῦ καὶ τῶν ἐμῶν οἴκων· εἴθε δὲ ἡ ἐξιλέωσις εἰς ἀγαθὸν ἀποϐαίνοι. Ταῦτα δὲ ὡς λέγεις, πάντα ποιήσομεν τοῖς θεοῖς καὶ τοῖς κάτω νεκροῖς, ὁπόταν ἀπέλθωμεν εἰς τοὺς οἴκους ἡμῶν.

232. ΤΗΛΕ ΠΡΟΣ ΔΥΣΜΑΙΣ. Ἐρωτηθεὶς ὁ χορὸς ποῦ λέγουσι τὰς Ἀθήνας κρατεῖσθαι, καὶ ἐν ποίῳ μέρει τῆς γῆς, φησὶν, ὅτι μακρὰν πρὸς ταῖς δυσμαῖς τῶν φθινασμάτων τοῦ θεοῦ ἡλίου. Ὁ ἥλιος γὰρ παρὰ Πέρσαις τιμᾶται. Φθινασμάτων δὲ τῶν λήξεων, τῶν δυσμῶν, ἢ τῶν ἐκλείψεων· ὅ τε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. Ἔνθα καὶ λὶψ ὁ ἄνεμος ἀπὸ δυσμῶν.

234. ΠΑΣΑ ΓΑΡ. Ἐὰν Ἀθήνας κρατήσῃ ὁ Ξέρξης, τηνικαῦτα καὶ τὴν Ἑλλάδα πᾶσαν καταδουλώσει. Αἱ γὰρ Ἀθῆναι εἰσὶν ἰσχυρόταται τῆς Ἑλλάδος. Τοῦτο λέγει, θέλων ἐπαινέσαι τὰς Ἀθήνας.

236. ΕΡΞΑΣ ΠΟΛΛΑ. Τῆς ἐν Μαραθῶνι πεζομαχίας μέμνηται. Μήδους δὲ τοὺς Πέρσας εἴρηκεν.

238. ΑΡΓΥΡΟΥ ΠΗΓΗ ΤΙΣ. Ἐν Θορίκῳ γὰρ καὶ ἐν Θαυρίῳ μέταλλα ἀργύρου τυγχάνουσιν.

239. ΠΟΤΕΡΑ ΓΑΡ. Ἆρα, φησὶ, διὰ τῶν χειρῶν αὐτοῖς πρέπει ἡ βολὴ ἡ τοξική; Ἀντὶ τοῦ, ἆρα οἴδασι τοξεύειν οἱ Ἀθηναῖοι; Ἀποκριθεὶς δὲ ὁ χορὸς λέγει, οὐδαμῶς τόξα ἕλκειν οἴδασιν. Ἔγχη δὲ σταδαῖα, ἤτοι ξίφη σταδαῖα, δι' ὧν συστάδην καὶ ἐχεγγύως καὶ πλησίον μάχονται. Τοὺς γὰρ ἐκ διαστημάτων μαχομένους κατηυτέλιζον.

241. ΤΙΣ ΔΕ ΠΟΙΜΑΝΩΡ. Τίς δὲ, φησὶν, ἐστὶ ποιμάνωρ, ἤτοι βασιλεὺς τοῦ λαοῦ καὶ τοῦ στρατεύματος; Ποιμένες γὰρ οἱ βασιλεῖς λέγονται. Ὁ δὲ χορὸς ἀποκριθεὶς λέγει, οὐχί τινος ἀνδρὸς ὀνομάζονται δοῦλοι οὐδ' ὑπήκοοι.

243. ΠΩΣ ΑΝ ΟΥΝ ΜΕΝΟΙΕΝ. Ἀκούσασα ἡ Ἄτοσσα ὅτι οὐδέ τινος ἀνδρὸς εἰσὶ δοῦλοι οὐδὲ ὑπήκοοι οἱ Ἀθηναῖοι, φησὶ, πῶς ἂν οὖν εἰ ἀναρχίαν εἶχον, μὴ ἔχοντες ἐφεστηκότα, καὶ πρὸς διάφορα διὰ τοῦτο θελήματα μετετράποντο, ἴσχυσαν πολεμῆσαι τοὺς ἐπελθόντας αὐτοῖς, ὡς ἐξ ἑνὸς συνθήματος, Πέρσας;

245. ΔΕΙΝΑ ΤΟΙ ΛΕΓΕΙΣ. Χαλεπὰ λέγεις τοῖς γονεῦσιν τῶν ἰόντων καὶ ἐλθόντων εἰς Ἀθήνας· ἀντὶ τοῦ ἡμῖν· ὥστε φροντίσαι αὐτῶν.

246. ΑΛΛ' ΕΜΟΙ. Ἰδὼν ὁ χορὸς τὸν ἄγγελον ἐρχόμενον, φησὶ πρὸς τὴν Ἄτοσσαν, ἀλλ' ὡς ἐμοὶ δοκεῖ, ἤτοι κατὰ τὴν ἐμὴν δόξαν καὶ δόκησιν, πάντως γνώσεις ἀληθῆ λόγον. Τοῦδε γὰρ, τούτου τοῦ ἀνδρὸς, τὸ δράμημα καὶ τὸ βάδισμα Περσικὸν φαίνεται, καὶ φέρει ἡμῖν ὥστε ἀκούειν φανερόν τι πρᾶγμα, ἀγαθὸν ἢ κακόν.

252. ΤΟ ΠΕΡΣΩΝ Δ' ΑΝΘΟΣ. Τὸ κάλλος, τὸ στράτευμα.

253. Ω ΜΟΙ, ΚΑΚΟΝ ΜΕΝ. Φεῦ μοι, κακὸν μέν ἐστιν ἀγγέλλειν καὶ μηνύειν καὶ λέγειν κακά· στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν· ὅμως δὲ ἀναγκαῖόν ἐστιν ἀναπτύξαι καὶ ἀνακαλύψαι καὶ φανερὸν θεῖναι ὅλον τὸ πάθος. Ἅπας γὰρ στρατὸς τῶν Περσῶν ὄλωλεν.

256. ΑΝΙΑ ΑΝΙΑ. Λυπηρὰ καὶ ἀνιαρά.

257. ΝΕΟΚΟΤΑ. Νεωστὶ μηνυθέντα ἡμῖν ὑπό τινος τῶν δαιμόνων. Τὰ νεωστὶ διὰ κότον τῶν θεῶν τινος γινόμενα.

258. ΔΙΑΙΝΕΣΘΕ. Δακρύετε κλύοντες καὶ ἀκούοντες τόδ' ἄχος ὃ εἶπον, ἀντὶ τοῦ ταύτην τὴν λύπην.

260. ΩΣ ΠΑΝΤΑ Γ' ΕΣΤ' ΕΚΕΙΝΑ. Τὸ ὡς ἀντὶ τοῦ ὅτι, καὶ ἀντὶ τοῦ λίαν. Πάντα ἐκεῖνα ὅσα ἔφην διαπεπραγμένα ἐστί· κἀγὼ δὲ ἀέλπτως νόστιμον βλέπω φάος, ἀντὶ τοῦ, ἀνελπίστως ὑποστρέψας ζῶ, καὶ βλέπω τὸ φῶς.

262. Η ΜΑΚΡΟΒΙΟΤΟΣ. Ὄντως μακρόβιοτος καὶ πολυχρόνιος ὅδε καὶ ἔτος ὁ αἰὼν καὶ χρόνος καὶ βίος ἐφάνη ἡμῖν τοῖς γεραιοῖς, διὰ τὸ ἀκούειν τοῦτο τὸ πῆμα καὶ τὸ βλάβος τὸ ἀνέλπιστον. Καὶ ἄλλως, εἰς τοῦτο ἐμακρύνθη ὁ βίος ἡμῶν, εἰς τὸ ἀκοῦσαι τὰ τοιαῦτα κακά.

266. ΚΑΙ ΜΗΝ. Αὐτὸς ἐκεῖσε παρὼν καὶ αὐτοψεὶ ὁρῶν τὰ τελούμενα, καὶ μὴ ἐξ ἑτέρων ἀκηκοὼς, φράσαιμι ἂν οἷα καὶ ποδαπὰ κακὰ ἐπορσύνθη καὶ κατεσκευάσθη καὶ ἐγένετο.

269. ΠΑΜΜΙΓΗ. Διαφόρων ἐθνῶν.

270. ΕΠ' ΑΙΑΝ. Ἐπ' αἶαν Ἑλλάδα, δίαν χώραν.

275 ΠΟΛΥΒΑΦΗ. Ὑπὸ τοῦ αἵματος.

277. ΠΛΑΓΚΤΟΙΣ ΕΝ ΔΙΠΛΑΚΕΣΣΙ. Πλαγκτοῖς ὡς ἂν εἴποι τὶς διαύλοις. Τὰ γὰρ κύματα ἐγχεῖται καὶ ὑπονοστεῖ. Διπλάκεσσι δὲ, ταῖς δύο πλαξὶ, τῆς θαλάσσης τὲ καὶ γῆς. Ἢ, ἐν Σαλαμῖνι καὶ Πλαταιαῖς.

279. ΕΜΒΟΛΑΙΣ. Ἀντὶ τοῦ προσβολαῖς.

281. ΔΥΣΑΙΑΝΗ. Δυσθρήνητον. ΔΑΙΟΙΣ. Διακεκομμένοις.

286. ΣΤΥΓΝΑΙ Δ' ΑΘΗΝΑΙ. Καὶ αἱ Ἀθῆναι στυγναὶ γεγόνασι τοῖς πολεμικοῖς Πέρσαις. Τινὲς δὲ τὸ, στυγναὶ δ' Ἀθῆναι, τοιοῦτόν φασιν, ὅτι ἡμῖν τοῖς δαΐοις στυγνότητος αἴτιαι πάρεισιν εἰς μνήμην αἱ Ἀθῆναι. Ὅ ἐστι, τῶν Ἀθηνῶν ἡ μνήμη στυγνοὺς ἡμᾶς ποιεῖ. Ἔστι δὲ τὸ πρότερον κάλλιον.

287. ΩΣ ΠΟΛΛΑΣ ΠΕΡΣΙΔΩΝ. Ὅτι πολλὰς δηλαδὴ πόλεις ἡμετέρας ἢ γυναῖκας ἔκτισαν καὶ ἐποίησαν εὔνιδας καὶ ἐστερημένας καὶ ἀνάνδρους, ἤτοι οὐκ ἐχούσας ἄνδρας.

288. ΜΑΤΑΝ. Ματαίως, μηδὲν βλάψασας. ΕΚΤΙΣΑΝ. Ἐποίησαν.

289. ΕΥΝΙΔΑΣ ΗΔ' ΑΝΑΝΔΡΟΥΣ. Ὀρφανὰς, ἐστερημένας. Καὶ ἀνάνδρους, ἤτοι οὐκ ἐχούσας ἄνδρας.

292. ΤΟ ΜΗΤΕ ΛΕΞΑΙ. Λείπει ἡ πρός. Τοιοῦτοι δὲ οἱ συμφοραῖς μεγάλαις κατεχόμενοι.

295. ΚΑΤΑΣΤΑΣ. Κατάστασιν λαβὼν τοῦ θορύβου, μὴ θορυβούμενος.

296. ΤΙΣ ΟΥ ΤΕΘΝΗΚΕ. Καλῶς πρῶτον περὶ τῶν ζώντων ἐρωτᾷ ἡ Ἄτοσσα τὸν ἄγγελον, ὡς ὄντων ὀλίγων· ὁ δὲ παρίστησι καὶ τὸ πλῆθος τῶν ἀποθανόντων.

297. ΤΩΝ ΑΡΧΕΛΕΙΩΝ. Λαῶν ἀρχόντων. Ἄλλως. Τῶν βασιλέων, ἀπὸ τοῦ τῶν λαῶν ἄρχειν. ΟΣΤ' ΕΠΙ ΣΧΗΠΤΟΥΧΙΑι. Τινὲς ὥστε διὰ τοῦ ω μεγάλου γράφουσι, καί φασι, πῶς τεθνηκώς· ἤγουν σκηπτουχίᾳ θανών.

300. ΕΜΟΙΣ ΜΕΝ ΕΙΠΑΣ. Ἡ Ἄτοσσα, ἀκούσασα τοῦ ἀγγέλου εἰπόντος ὅτι ὁ Ξέρξης ζῇ, φησὶν, εἶπας φῶς μέγα τοῖς ἐμοῖς οἴκοις, καὶ λαμπρὰν ἡμέραν ἐκ νυκτὸς μελαίνης. Ἐνόμιζε γὰρ καὶ αὐτὸν τεθνᾶναι.

302. ΑΡΤΕΜΒΑΡΗΣ ΔΕ. Ὁ Ἀρτεμβάρης δὲ, ἡγεμὼν καὶ ὁ διοικητὴς τῆς μυρίας καὶ πολλῆς ἵππου, ἤτοι ὁ ἔχων ἵππους πολλοὺς, θείνεται καὶ τύπτεται καὶ σφάττεται παρὰ τὰς ἀκτὰς καὶ τοὺς αἰγιαλοὺς τοὺς σκληροὺς καὶ τραχεῖς. Σιληνίαι αἰγιαλός ἐστι τῆς Σαλαμῖνος τῆς λεγομένης τροπαίας ἄκρας, ὡς Τιμόξενος ἐν τῷ περὶ λιμνῶν, φησί.

304. ΧΩι ΧΙΛΙΑΡΧΟΣ. Καὶ ὁ χιλίων στρατιωτῶν ἄρχων Δαδάκης ἐκ τῆς νηὸς ἀφήλατο καὶ ἐπήδησε πήδημα κοῦφον καὶ ἐλαφρὸν καὶ σύντομον καὶ ταχὺ, ἐν πληγῇ δορός. Ἤγουν, τῷ δόρατι πληγεὶς, ἐξετινάχθη ἔξωθεν τῆς νεώς.

306. ΤΕΝΑΓΩΝ Τ' ΑΡΙΣΤΟΣ ΙΘΑΓΕΝΗΣ ΒΑΚΤΡΙΩΝ. Ὁ ἰθαγενὴς καὶ ὁ πολίτης τῶν Βακτρίων· Βάκτρα δὲ πόλις Περσίδος· πολεῖ καὶ ἀναστρέφεται τὴν θαλασσόπληκτον νῆσον τοῦ Αἴαντος. Ἐμφαίνεται γὰρ διὰ τούτου ὡς οὐ καλῶς μαχεσάμενος καὶ ἀναιρεθεὶς, πρὸς τὰς τῶν μακάρων νήσους αὐλίζεται. Φαίνεται δὲ ὁ Αἰσχύλος κωμῳδῶν τοῦτον. Ἄλλως. Εὐφήμως· κεῖται ἐν Σαλαμῖνι.

308. ΛΙΛΑΙΟΣ, ΑΡΣΑΚΗΣ. Ταῦτα τὰ ὀνόματα οὐκ ἔχει τὸν τῆς Αἰγύπτου χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται.

309. ΟΙΔ' ΑΜΦΙ ΝΗΣΟΝ ΤΗΝ ΠΕΛΕΙΟΘΡΕΜΜΟΝΑ. Οὗτοι περὶ τὴν νῆσον τὴν πελειοθρέμμονα· ἤτοι τὴν Σαλαμῖνα· πολυτρήρων γὰρ αὕτη· συνέκρουον ἀλλήλοις. Ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων τῶν συγκρουόντων τοῖς κέρασι. Ἄλλως. Τὴν πολυτρήρωνα Σαλαμῖνα, παρὰ τὸ Ὁμηρικὸν,

——πολυτρήρωνά τε Θίσβην.

312. ΑΔΕΥΗΣ, ΚΑΙ ΦΕΡΕΣΣΕΒΗΣ. Οὐδὲ ταῦτα τὰ ὀνόματα τὸν Αἰγύπτιον ἦχει χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται.

314. ΜΑΤΑΛΛΟΣ ΜΥΡΙΟΝΤΑΡΧΗΣ ΘΑΝΩΝ, ΙΠΠΟΥ ΜΕΛΑΙΝΗΣ. Καὶ ὁ Μάταλλος ὁ ἡγεμὼν καὶ ἄρχων τῆς μελαίνης ἵππου τῆς τρισμυρίας, θανὼν ἔτεγγε καὶ ἔβρεχεν ἐν πορφυρέῃ βαφῇ, ἤτοι τῇ διὰ τοῦ αἵματος, τὴν πυῤῥὰν γενειάδα τὴν ζαπληθῆ καὶ ἄγαν πολλὴν καὶ δασύτριχον. Τινὲς δὲ ἀντὶ γενικῆς, πυῤῥᾶς γενειάδος, καὶ τὸ ἑξῆς, ἔτεγγε χρῶτα, ἔβρεχε τῷ αἵματι.

318. ΚΑΙ ΜΑΓΟΣ ΑΡΑΒΟΣ. Μάγος ἐθνικὸν, Ἄραβος κύριον.

319. ΣΚΛΗΡΑΣ ΜΕΤΟΙΚΟΣ ΓΗΣ. Ἐκεῖ ἀπελθὼν κατῴκησε τὴν Σαλαμῖνι τὴν σκληρὰν καὶ πετρώδη. Ἢ καὶ οὕτως· ἐν Σαλαμῖνι μετοικήσας, εὐφήμως· παρόσον ἀνυπόστροφος αὐτῷ ἡ εἰς ταύτην ἔφοδος γέγονεν.

321. Ο, Τ' ΕΣΘΛΟΣ. Ὁ ἐσθλός τε καὶ ἀγαθὸς Ἀριόμαρδος ὁ παραχὼν καὶ δοὺς πένθος καὶ θρῆνον ταῖς Σάρδεσι· πατρὶς γὰρ αἱ Σάρδεις αὐτῷ. Ὁ Θάμυρις

ἢ ὁ ταγὸς καὶ ἡγεμὼν νηῶν πεντήκοντα πεντάκις, τῦτ᾽ ἔςι διακοσίων πεντήκοντα· τὸ γένος ὢν ἀπὸ Λύρνης τῆς χώρας, κεῖται δείλαιος καὶ ἄθλιος θανὼν ἐ μάλα εὐτυχῶς.

326. ΣΥΕΝΝΕΣΙΣ ΤΕ ΠΡΩΤΟΣ. Συέννεσίς τε πρῶτος εἰς θαῤῥαλεότητα καὶ ἀνδρείαν, ὁ ἡγεμὼν τῶν Κιλίκων, εὐκλεῶς ἀπώλετο, ἀντὶ τῦ, καλῶς καὶ ἀνδρείως μαχεσάμενος ἀπώλετο, εἷς ἀνὴρ ὢν, καὶ πολλὺς πόνυς ἐμποιήσας τοῖς ἐχθροῖς, ὡς κατὰ πολλῶν μαχεσάμενος.

330. ΠΟΛΛΩΝ ΠΑΡΟΝΤΩΝ. Λείπει τὸ κακῶν.

333. ΑΝΑΣΤΡΕΨΑΣ. Ἀναλαβών.

335. ΑΞΙΩΣΑΙ. Ἄξιον ἡγήσασθαι, τολμῆσαι.

336. ΕΜΒΟΛΑΙΣ. Προσβολαῖς.

340. ΔΕΚΑΣ Δ᾽ ΗΝ. Ἐκ τῶν τ᾽ δέκα ἦσαν αἱ ἡγέμεναι, ὡς βελτίονες.

343. ΕΚΑΤΟΝ ΔΙΣ. σζ᾽ αἱ ἄρισαι, ἢ σιθ᾽, ἵνα ᾖ τὸ δὶς ἐκ κοινῦ.

344. ΜΗ ΣΟΙ ΔΟΚΟΥΜΕΝ. Μὴ δόκει ἡμᾶς ἡττηθῆναι ἐν ταύτῃ τῇ μάχῃ, ἤτοι τῇ ναυμαχίᾳ· ἀλλ᾽ ὕτω τὶς δαίμων κατέφθειρε τὸν λαὸν ἤτοι τὸν ςρατὸν τῶν Περσῶν.

346. ΤΑΛΑΝΤΑ ΒΡΙΣΑΣ. Τὰ τῶν Περσῶν ζυγὰ βαρήσας.

——ῥέπε δ᾽ αἴσιμον ἦμαρ Ἀχαιῶν.

349. ΕΡΚΟΣ. Ἀλκαῖος, ἄνδρες γὰρ πόλεως πύργος ἀρήϊος.

350. ΑΡΧΗ ΔΕ ΝΑΥΣΙ. Ἀρχὴ δὲ τῆς συμβολῆς τῶν νηῶν, ἤτοι τῆς ναυμαχίας, ἆρα οἱ Ἕλληνες, ἢ ὁ παῖς ὁ ἐμὸς Ξέρξης, καταυχήσας, ἐπαρθεὶς καὶ θαρσύνας τῷ πλήθει τῶν νηῶν;

353. ΗΡΞΕΝ ΜΕΝ. Ἀρχή τις ἐγένετο τῦ παντὸς κακῦ ποθὲν ἐλθὼν τελχίν τις, ἢ δαίμων. Εἶτα διηγεῖται τὸ γεγονὸς, καὶ λέγει, ὅτι τὶς Ἕλλην ἀπὸ τῦ ςρατεύματος τῶν Ἀθηναίων ἐλθὼν, εἶπε τῷ Ξέρξῃ τάδε· ἃ καὶ κατὰ μικρὸν ἐξεῖπε, νῦν δὲ τὴν ἱςορίαν ἐρῦμεν. Βυληθέντων τῶν Ἑλλήνων, ἤτοι τῶν Λακεδαιμονίων τῶν τοῖς Ἀθηναίοις συμμαχέντων, ἀπελθεῖν πρὸς τὴν ἑαυτῶν πατρίδα, διὰ τὸ μὴ παραδοθῆναι ταύτην τῷ Ξέρξῃ, τῶν αὐτῆς ἀνδρῶν οὖσαν ἄμοιρον, Θεμιςοκλῆς Σίκινον τὸν παιδαγωγὸν ἔπεμψε πρὸς τὸν Ξέρξην, λέγων ὅλως τὰ περὶ αὐτῦ φροντίζειν εὐκαιρίας πῶς αὐτῷ τὰς Ἀθήνας προδώσει εἶθ᾽ ὕτως εἰπεῖν τὸν Σίκινον πρὸς αὐτὸν ὡς μέλλυσι φυγεῖν οἱ Ἕλληνες· τῦτο δὲ ἐποίησεν ἵνα ἐν ἀπογνώσει μάχοιντο οἱ Ἕλληνες· τύτυ γῦν ὁ Ξέρξης ἀκύσας, πρὸς τὰς διεξόδυς τῶν Λακεδαιμονίων πεπομφὼς νῆας, τὴν ἔξοδον αὐτῶν ὑπέφραξεν. Οὗτοι δὲ μὴ ἔχοντες ὅποι τράποιντο, ςάντες γενναίως, τὸν μὲν Ξέρξυ ςόλον ἠφάνισαν ἅπαντα, εἶθ᾽ ὕτως καὶ πρὸς τὺς τάττοντας ἐκείνυς ἐλθόντες, ἐκεῖσε τύτυς ἀπέκτειναν.

355. ΑΝΗΡ ΓΑΡ ΕΛΛΗΝ. Ἀνὴρ, φησὶν, Ἕλλην ἐκ τῦ ςρατῦ τῶν Ἀθηναίων· ἦν δ᾽ ὗτος Σίκινος ὁ τῦ Θεμιςοκλέυς παιδαγωγός· ἐλθὼν εἶπε τῷ Ξέρξῃ ταῦτα, ὅτι εἰ τὸ σκότος τῆς μελαίνης καὶ τῆς ἀφεγγῦς καὶ σκοτεινῆς νυκτὸς παραγένοιτο καὶ ἔλθοι, ἤτοι εἰ γένοιτο νὺξ, οἱ Ἕλληνες ὐ καρτερήσαιεν καὶ ὑπομένοιεν, ἀλλὰ καὶ τοῖς καταςρώμασι τῶν νηῶν, περιφραςικῶς ταῖς ναυσὶν, ἐπιπηδῶντες, ἄλλος ἀλλαχῦ ἐν φυγῇ κρυφίᾳ τὴν ζωὴν φυλάξυσιν. Ὁ δὲ Ξέρξης ὐ ξυνεὶς καὶ

νοήσας τὸν δόλον τῦ Ἕλληνος ἀνδρὸς, ὃν ἄνωθεν εἴπομεν, εὐθὺς πᾶσι τοῖς ἄρχυσι τῶν νεῶν προφωνεῖ τῦτον τὸν λόγον, ὁπηνίκα ἂν δύνῃ ἥλιος τὴν γῆν καίων ἐν ταῖς οἰκείαις ἀκτῖσι, τὸ κνέφας δὲ καὶ τὸ σκότος λάβῃ τὸ τέμενος τῦ αἰθέρος· περιφραςικῶς αὐτὸν τὸν αἰθέρα· τότε τάξαι τὰς νῆας ἐν τρισὶ τάξεσι, φυλάσσειν τὺς ἔκπλυς, ἤγυν τὰς ἐξόδυς καὶ τὰς ἐξελάσεις τῶν Ἀθηναίων, καὶ τόπυς θαλασσίυς· ἄλλας δὲ νῆας τάξαι, ἀπὸ κοινῦ, κύκλωθεν περὶ τὴν τῦ Αἴαντος νῆσον, τῦτ' ἔςι τὴν Σαλαμῖνα.

364. ΕΥ Τ' ΑΝ ΦΛΕΓΩΝ ΑΚΤΙΣΙΝ. Ὡς ἀπὸ Ξέρξυ ὁ λόγος.

366. ΣΤΙΦΟΣ. Πλῆθος.

369. ΩΣ ΕΙ ΜΟΡΟΝ ΦΕΥΞΟΙΑΘ' ΕΛΛΗΝΕΣ ΚΑΚΟΝ. Ἀπὸ διηγηματικῦ ἐπὶ τὸ μιμητικόν. Ὡς ἐὰν οἱ Ἕλληνες φευξοίατο καὶ φύγοιεν τὸν θάνατον τὸν χαλεπὸν, εὑρόντες τινὰ δρασμὸν καὶ φυγὴν κρυφίως διὰ τῶν νηῶν, πᾶσιν ἦν προκείμενον, τῆς κεφαλῆς ςερίσκεσθαι. Τῦτ' ἔςι, πᾶσιν ἠπείλει τοῖς ταχθεῖσι παρ' αὐτῦ φυλάξαι τὺς Ἕλληνας, ςερίσκεσθαι τῆς κεφαλῆς, ἐὰν οἱ Ἕλληνες ἐκφύγωσιν. Ἄτοπον δὲ ἀπειλεῖν τοσύτῳ πλήθει θάνατον. Βέλτιον οὖν εἰπεῖν τὸ κράτος, ἀντὶ τῦ κράτυς, κατὰ ἀντίπτωσιν, ἵν' ᾖ, ςερίσκεσθαι τῦ κράτυς, ἤτοι τῆς τιμῆς καὶ τῆς ἀρχῆς.

372. ΤΟΣΑΥΤ' ΕΛΕΞΕ. Τοσαῦτα, φησὶν, εἶπεν ὁ Ξέρξης, ὑπὸ ἀλαζόνος καὶ τερπομένης διανοίας λίαν· ὐ γὰρ τὸ μέλλον ἠπίςατο. Οἱ δὲ, οἱ ὑπ' αὐτὸν δηλονότι, ὐκ ἀτάκτως, ἀλλ' ἐν εὐείκτῳ καὶ πειθηνίῳ λογισμῷ ἐπορσύνοντο καὶ κατεσκεύαζον καὶ ἡτοίμαζον εὐωχίαν. Ἵνα πρῶτον εὐωχηθῶσιν, εἶθ' ὕτως ἐξέλθωσι πρὸς τὴν ναυμαχίαν. Πᾶς τε ἀνὴρ ναυτικὸς τὴν εὐήρετμον κώπην ἐδέσμευεν ἀμφὶ τὸν σκαλμὸν καὶ τὸ ξύλον ἐν τῷ τροπωτῆρι καὶ τῷ λώρῳ. Ἄλλως. Κώπην εὐήρετμον ἀμφὶ σκαλμὸν ἐδέσμευεν. Τροπωτὴρ δὲ, ὁ δεσμεύων τὴν κώπην πρὸς τῷ σκαλμῷ.

379. ΟΠΛΩΝ ΕΠΙΣΤΑΤΗΣ. Ἐπιςήμων.

380. ΝΕΩΣ ΜΑΚΡΑΣ. Πολεμικῆς.

385. ΚΡΥΦΑΙΟΝ ΕΚΠΛΟΥΝ. Ὡς ἡμεῖς ᾠόμεθα.

395. ΣΑΛΠΙΓΞ. Ἡ σάλπιγξ καὶ ἐν αὐτᾷ βοῇ καὶ ἠχοῖ πάντα ἐκεῖνα ὑπερέφλεγεν ἤτοι τὰ τῶν Ἑλλήνων. ΠΑΝΤ' ΕΚΕΙΝ' ΕΠΕΦΛΕΓΕΝ. Τὰ τῶν Ἑλλήνων ἐξέκαιεν καὶ ἀνήγειρεν ἡ σάλπιγξ.

396. ΚΩΠΗΣ ΡΟΘΙΑΔΟΣ. Τῆς ἠχητικῆς, ἢ τῆς ἐν ὑγρῷ ἐλαυνομένης.

399. ΤΟ ΔΕΞΙΟΝ ΜΕΝ. Τὸ δεξιὸν κέρας καὶ μέρος τὸ τῦ Θεμιςοκλέως μετ' εὐταξίας προηγεμόνευε τῶν ἄλλων, καὶ προήρχετο· δεύτερον δὲ ὑπεξεχώρει καὶ ἐξήρχετο καὶ ὁ πᾶς ςόλος, καὶ παρῆν ἀκύειν βοὴν πολλὴν, ἥ τις ἦν ταῦτα, ἔλθετε ὦ Ἕλληνες, ἐλευθερῦτε ἀπὸ τῶν Βαρβάρων τὴν πατρίδα ὑμῶν καὶ τὰς γυναῖκας καὶ τὺς παῖδας, καὶ πάντα τὰ ὑμέτερα.

405. ΘΗΚΑΣ ΤΕ ΠΡΟΓΟΝΩΝ. Τάφυς.

406. ΚΑΙ ΜΗΝ ΠΑΡ' ΗΜΩΝ ΥΠΗΝΤΙΑΖΕ. Καὶ δὴ καὶ ἐναντίως τύτοις ἐφέρετο ὁ ῥόθος καὶ ὁ ἦχος καὶ κραυγὴ τῆς Περσικῆς γλώσσης, τῦτ' ἔςιν, ἀντεφωνῦμεν ἐκείνοις· καὶ ὐκ ἔτι ἦν ἀκμὴ καὶ καιρὸς τῦ μέλλειν καὶ βραδύνειν.

408. ΧΑΛΚΗΡΗ ΣΤΟΛΟΝ. Τηνικαῦτα δὲ ναῦς Ἀθηναϊκὴ ἔπαισε καὶ ἔτυψε τὸν χαλκήρη ςόλον, ἤτοι τὸ ἔμβολον, τὸ ἐν νηὶ Περσικῇ δηλονότι. Στόλος δὲ λέγεται τὸ ἔμβολον, παρὰ τὸ εἰς ὀξὺ συνεςάλθαι· ςόλον γὰρ ἔλεγον τὰ ἀπωξυμμένα. Λέγει δὲ χαλκήρη, τὸν χαλκῷ περιβεβλημένον.

409. ΗΡΞΕ Δ' ΕΜΒΟΛΗΣ. Ἀρχὴν ἐποίησε τῷ πρώτῳ πολέμῳ ναῦς Ἀθηναϊκὴ, ἤγουν ὁ Λυκομήδης ὁ Αἰσχραίου παῖς, καὶ διακόπτει τηνικαῦτα πάντα τὰ κόρυμβα καὶ τὰ ἀκροπόλια τῆς Φοινίσσης, ἤγουν τῆς Περσικῆς νηός· οἱ γὰρ Φοίνικες τῶν Περσῶν εἰσίν· ἄλλος δὲ ἐπ' ἄλλην νῆα Περσικὴν ἐπιτηδείως ἦγε τὸ δόρυ. Τὴν γὰρ ναῦν λέγει δόρυ.

412. ΤΑ ΠΡΩΤΑ ΜΕΝ. Κατὰ τὴν ἀρχὴν μὲν, φησὶ, τὸ συγκίνημα τοῦ Περσικοῦ ςρατοῦ ἀνθίςατο καὶ ἀντεμάχετο τοῖς Ἀθηναίοις· ἐπεὶ δὲ ἐν ςενῷ συνηθροίσθη τὸ πλῆθος τῶν νεῶν· μεταξὺ δὲ Σαλαμῖνος καὶ Αἰγίνης ἦν τὸ ςενόν· καὶ οὐδαμοῦ τις βοήθεια ἀλλήλοις παρῆν· οὐ γὰρ ἠδύνατο ἕτερος ἑτέρῳ συμμαχῆσαι διὰ τὴν ςενότητα τοῦ τόπου· αὐτοὶ δὲ οἱ Πέρσαι ὑπ' αὐτῶν ἐτύπτοντο ταῖς συγκρούσεσι καὶ προσαράξεσι τῶν νηῶν, καὶ συνέθλαττον πάντα κωπήρη ςόλον, οἱ Ἕλληνες δὲ οὐκ ἀβούλως καὶ ἀδιδάκτως κυκλόθεν ἔτυπτον τοὺς Πέρσας, ἔπιπτον δὲ αἱ νῆες· θάλασσα δὲ οὐκ ἔτι ἦν ὥςε ἰδεῖν αὐτὴν, ἤτοι οὐκ ἐφαίνετο ἡ θάλασσα, γέμουσα τῶν νεκρῶν· οἱ αἰγιαλοὶ δὲ καὶ αἱ θαλάσσιαι πέτραι ἔγεμον τῶν πτωμάτων, πᾶσα δὲ ναῦς Περσικὴ ἠρέσσετο καὶ ἐκωπηλατεῖτο ἐν φυγῇ, ἀκόσμως καὶ ἀτάκτως. Οἱ γὰρ φεύγοντες οὐκ εὐτάκτως πορεύονται.

416. ΠΑΙΟΝΤ' ΕΘΡΑΥΟΝ. Παράλογον τὸ δυϊκόν.

417. ΟΥΚ ΑΦΡΑΔΜΟΝΩΣ. Οὐχ ἁπλῶς, οὐδὲ ἀδιδάκτως.

419. ΣΚΑΦΗ ΝΕΩΝ. Ἀντὶ τοῦ, αἱ νῆες.

420. ΝΑΥΑΓΙΩΝ. Ναυαγία αὐτὸ τὸ πάθος, ναυάγιον δὲ, αὐτὸ τὸ ναυαγῆσαν σκάφος. Ναυαγίων δὲ ἐνταῦθα, τῶν πτωμάτων.

424. ΤΟΙ Δ' ΩΣΤΕ ΘΥΝΝΟΥΣ. Οὗτοι δὲ οἱ Ἕλληνες ἔπαιον καὶ ἔκοπτον, ὥσπερ θύννους ἀγαῖσι κωπῶν· ἤγουν κλάσμασι· θραύσμασίν τ' ἐρειπίων. ΙΧΘΥΩΝ ΒΟΛΟΝ. Ἄγραν.

425. ΘΡΑΥΣΜΑΣΙ Τ' ΕΡΕΙΠΙΩΝ. Ἐρείπια κυρίως τὰ παραπτώματα τῶν οἴκων λέγεται, ἢ τὰ σώματα τὰ θνησιμαῖα τὰ πτώσει ὑποπεσόντα. Καταχρηςικῶς δὲ ἐνταῦθα, ἐρείπιά φησι θραύσματα τῶν νεῶν σῶν ἀφανισθεισῶν.

428. ΕΩΣ ΚΕΛΑΙΝΗΣ ΝΥΚΤΟΣ. Λείπει τὸ τὴν μάχην, ἵν' ᾖ οὕτως, ἕως τὸ ὄμμα τῆς μελαίνης καὶ σκοτεινῆς νυκτὸς, ἤτοι αὐτὴ ἡ νὺξ ἐπιγενομένη, ἔπαυσεν αὐτοὺς τῆς μάχης.

429. ΚΑΚΩΝ ΔΕ ΠΛΗΘΟΣ. Τὸ πλῆθος δὲ τῶν κακῶν οὐκ ἂν ἐκπλήσαιμί σοι καὶ ἐκπληρώσαιμι, οὐδ' ἂν εἰ δέκα ἡμέρας ςοιχηγοροίην, ἤτοι μετὰ σπουδῆς καὶ ἐφεξῆς καὶ κατὰ τάξιν λέγοιμι, ςοιχομυθοίην.

431. ΕΥ ΓΑΡ ΤΟΔ' ΙΣΘΙ. Καλῶς γὰρ γίνωσκε ὅτι οὓς εἶπον θανεῖν οὐδὲ μιᾶς ἡμέρας εἰσί. Γράφεται δὲ καὶ Τοσουτάριθμον πλῆθος ἀνθρώπων, τοσοῦτο κατὰ τὸν ἀριθμόν.

433. ΑΙ ΑΙ. Φεῦ φεῦ, μέγα πένθος τῶν κακῶν ἐῤῥάγη Πέρσαις, καὶ πᾶσι τοῖς Βαρβάροις. Εὔκαιρος δὲ ἡ τροπὴ ἀπὸ τῶν ἐν θαλάσσῃ κυμάτων.

437. ΩΣ ΤΟΙΣΔΕ ΚΑΙ ΔΙΣ. Γίνωσκε γὰρ ὅτι ὅσα εἶπον, δὶς τόσα εἰσίν. Ἃ ὑπέμειναν κακὰ, ἀντισήκωσιν καὶ ἀντιστάθμησιν δὶς τόσα ἔχουσιν, ἢ ὅσα εἶπον. ΡΟΠΗι. Τῇ κακῶν δηλονότι.

438. ΚΑΙ ΤΙΣ ΓΕΝΟΙΤ' ΑΝ. Καὶ τίς ἂν τύχῃ γένοιτο ἐχθίων καὶ χείρων ταύτης; Λέξον τίν' αὖ λέγεις ταύτην τὴν συμφορὰν ἐλθεῖν ὁρμῶσαν μείζονα τῶν κακῶν.

440. ΜΑΣΣΟΝΑ. Μείζονα.

443. ΑΥΤΩι Τ' ΑΝΑΚΤΙ. Καὶ αὐτῷ τῷ ἄνακτι, ἤτοι βασιλεῖ τῷ Ξέρξῃ. ΠΙΣΤΙΝ ΕΝ ΠΡΩΤΟΙΣ. Εἰς πίστιν ἐν πρώτοις, ἤτοι πιστότατοι αὐτῷ ἦσαν.

447. ΝΗΣΟΣ ΤΙΣ ΕΣΤΙΝ. Τὴν Ψυττάλειαν φησὶν, ἥτις ἀπέχει τῆς Σαλαμῖνος ρε' σταδίους, ὅπου φυγόντες οἱ ἡγεμόνες τῶν Περσῶν, ὑπὸ τῶν Ἀθηναίων ἀπώλοντο.

448. ΗΝ Ο ΦΙΛΟΧΟΡΟΣ ΠΑΝ. Φιλόχορον τὸν Πᾶνα τὸν θεὸν λέγει, τὸν αὐλητήν· ἐμβατεύειν δὲ ταύτην τὴν νῆσον τοῦτόν φησιν, ἢ ὡς ἱερᾶς Πανὸς οὔσης τῆς νήσου, ἢ ὡς ἐρήμου. Ἐρήμοις γὰρ τόποις οὗτος ὁ θεὸς ἐνδιατρίβειν εἰώθει.

450. ΕΝΤΑΥΘΑ ΠΕΜΠΕΙ ΤΟΥΣΔ'. Ἐνταῦθα, φησὶ, πρὸς τὴν εἰρημένην νῆσον τὴν Ψυτταλίαν, πέμπει τούτους ὁ Ξέρξης, ὅπως ὅταν οἱ ἐχθροὶ τῶν Περσικῶν νεῶν φθαρέντες πρὸς τὴν νῆσον ἐκσωζοίατο, ἀντὶ τοῦ, μετὰ φθορᾶς καὶ βλάβης ἐκσωθῶσι καὶ ἐξέλθωσι πρὸς τὴν νῆσον, κτείνοιεν καὶ φονεύσειαν ῥαδίως κρατηθέντα τὸν στρατὸν τῶν Ἑλλήνων, τοὺς φίλους δὲ Πέρσας ὑπεκσώζοιεν ὑπὸ τῶν θαλασσίων πόρων. Κακῶς ἱστορῶν, προβλέπων καὶ νοῶν καὶ σκοπῶν τὸ μέλλον. Ἄλλως· ἐκεῖ γὰρ ἔπεμψε τοὺς ἡγεμόνας ὁ Ξέρξης, ἵνα ἐὰν φεύγοντες οἱ Ἀθηναῖοι ἔλθωσιν ἐκεῖσε· ἀποκτανθῶσι παρ' αὐτῶν. Ἐγένετο δὲ τοὐναντίον. Τὸ δὲ ἱστορῶν σημείωσαι ἀντὶ τοῦ προβλέπων.

454. ΩΣ ΓΑΡ. Ἐπεὶ γὰρ, φησὶν, ὁ θεὸς ἔδωκε τοῖς Ἕλλησι κῦδος καὶ δόξαν νεῶν, ἤτοι ἐν τῇ ναυμαχίᾳ ἐτίμησεν, αὐθήμερον καὶ ἐν αὐτῇ ἐκείνῃ τῇ ἡμέρᾳ ἐξέθρωσκον καὶ ἐπήδων ἀπὸ τῶν νεῶν, φράξαντες τὸ σῶμα ἑαυτῶν ὅπλοις καλῶς κατεσκευασμένοις· περιεκυκλοῦντο δὲ καὶ συνεῖχον πᾶσαν τὴν νῆσον, ὥστε ἀμηχανεῖν τοὺς Πέρσας ποῦ φύγοιεν.

459. ΠΟΛΛΑ ΜΕΝ ΓΑΡ ΕΚ ΧΕΡΩΝ ΠΕΤΡΟΙΣΙΝ ΗΡΑΣΣΑΝΤΟ. Ἤγουν λίθοις ἐβάλλοντο καὶ συνετρίβοντο λιθολευστούμενοι· ἀπὸ τῆς τοξικῆς τε θώμιγγος ἰοὶ καὶ βέλη προσπίπτοντες ἔλυσαν καὶ ἔφθειραν τοὺς Πέρσας. Θώμιγξ δέ ἐστιν ὁ λεπτότατος σχοῖνος. Μεταφορικῶς δὲ ἐνταῦθα λέγει τὴν νευρὰν τοῦ τόξου.

462. ΤΕΛΟΣ Δ' ΕΦΟΡΜΗΘΕΝΤΕΣ. Ὕστερον δὲ κινηθέντες ὁμοῦ πάντες οἱ Ἕλληνες ἐξ ἑνὸς ῥόθου καὶ ἐκ μιᾶς ῥοπῆς, κρεοκοποῦσι τὰς σάρκας τῶν ἀθλίων Περσῶν, ἕως ἐθανάτωσαν ἅπαντας. Ὁ Ξέρξης δὲ ἐθρήνησεν, ὁρῶν βάθος κακῶν. Ἡ μεταφορὰ ἀπὸ τῶν ὑδάτων. Ἕδραν γὰρ εἶχεν καὶ ἐκάθητο ἐν ὑψηλῷ, φησὶ,

τόπῳ. Καὶ διὰ τοῦτο ἑώρα τὸν στρατὸν ὁ Ξέρξης καὶ τὰ αὐτῷ συμβάντα. Ἕδραν γὰρ εἶχε πλησίον τῆς πελαγιζούσης θαλάσσης.

466. ΕΔΡΑΝ ΓΑΡ ΕΙΧΕ ΠΑΝΤΟΣ ΕΥΑΓΗ ΣΤΡΑΤΟΥ, ΥΨΗΛΟΝ ΟΧΘΟΝ. Ὅθεν ἐδύνατο καλῶς ἄγειν τὸν ὀφθαλμὸν πανταχοῦ, καὶ βλέπειν· ὑψηλὸς γὰρ ἦν. Τὸ δὲ εὐαγῆ παντὸς στρατοῦ, ἀντὶ τοῦ καθαρὰν, κεχωρισμένην, εὖ ἔχουσαν οἷον τὴν ἄποψιν, καὶ ἐπιτηροῦσαν τὸν λεὼν ἅπαντα. Ἢ αὐγάζοντα καὶ ὁρῶντα. Ὑψηλὸν δὲ ὄχθον λέγει τὸ ἀντικρὺ Σαλαμῖνος ὄρος τὸν Αἰγάλεων, ὥς φησιν Ἡρόδοτος.

468. ΡΗΞΑΣ ΔΕ ΠΕΠΛΟΥΣ. Διασχίσας δὲ τὰ ἱμάτια ἑαυτοῦ, καὶ ἀνοιμώξας ὀξὺ καὶ μέγα, ὥρμα σὺν φυγῇ, ἤτοι ἔφευγε ταχέως, ἄφαρ καὶ εὐθέως παραγγείλας καὶ συμβουλευσάμενος δηλαδὴ τὸ φεύγειν.

472. Ω ΣΤΥΓΝΕ ΔΑΙΜΩΝ. Ὦ τύχη ἡ στυγνάζειν καὶ ἀνιάζειν ποιοῦσα ἡμᾶς, ψευσθῆναι ἐποίησας τῶν φρενῶν τοὺς Πέρσας, καὶ ἀποτυχεῖν ὧν ἤλπιζον.

475. ΟΥΣ ΠΡΟΣΘΕ ΜΑΡΑΘΩΝ. Μαραθὼν ὄρος ὅπου πολλοὶ τῶν Βαρβάρων ἀπώλοντο, οὓς ὁ Δαρεῖος πολεμῆσαι τοῖς Ἀθηναίοις ἀπέστειλε, τῷ ἀριθμῷ ὡσεὶ μυριάδας λʹ· ἐφ᾽ ᾧ Ξέρξης μανεὶς, καὶ τοὺς Πέρσας πάντας καὶ τοὺς ἀπὸ τῶν πέριξ πόλεων συναγωγὼν, ταῖς Ἀθήναις ἐπεχωρίαζε.

480. ΝΑΩΝ ΔΕ ΤΑΓΟΙ. Οἱ ταγοὶ δὲ καὶ ἡγεμόνες τῶν λελειμμένων νεῶν, σύδην καὶ ὁρμητικῶς αἱροῦνται φυγὴν κατ᾽ οὖρον οὐκ εὔκοσμον· ἤτοι, οὐκ ἐν ἐπιτηδείῳ καιρῷ ἔφυγον. Τροπικῶς ἀπὸ τῶν ἐν χειμῶνι πλεόντων, ὅτε πνέουσιν ὀλέθριοι ἄνεμοι. Τινὲς δὲ τοῦτο φασὶν οὕτως, ὅτι ἐκεῖσε, φησὶν, ἀπίασιν ὅπου αὐτοὺς ὁ ἄνεμος φέρει.

483. ΟΙ ΜΕΝ ΑΜΦΙ ΚΡΗΝΑΙΟΝ ΓΑΝΟΣ. Τόπος Βοιωτίας ἡ Κρήνη. Οἱ μὲν οὖν, φησὶν, ἐς τὴν Βοιωτῶν χθόνα, τῷ δίψει φθειρόμενοι καὶ ἀποθνήσκοντες· οἱ δὲ ἀπολειφθέντες, παρειμένοι, καὶ οἷον μικρὸν ἀσθμαίνοντες, ἐκπερῶμεν πρὸς τὴν Φωκίδα καὶ τὴν Δωρίδα γῆν, καὶ τὸν Μηλιᾶ κόλπον, ὅπου ῥέει ὁ Σπερχειὸς ποταμός. Οὗτος γὰρ ἐξ Ἀνιάνων ῥέων, εἰς τὸν Μηλιακὸν ἐμβάλλει κόλπον.

488. ΚΑΚΕΙΘΕΝ ΗΜΑΣ ΓΗΣ. Ἀπὸ δὲ τῆς γῆς τῶν Φωκέων ἐδέξατο ἡμᾶς ἡ γῆ τῶν Ἀχαιῶν, καὶ ἡ πόλις τῶν Θετταλῶν, ἐνδεεῖς ὄντας καὶ χρήζοντας τροφῆς· ὅπου πολλοὶ ἀπέθανον ἀπό τε δίψης καὶ πείνης. Ταῦτα γὰρ ἦν τότε.

494. ΒΟΛΒΗΣ Θ᾽ ΕΛΕΙΟΝ. Βόλβη ὄνομα λίμνης Θρακικῆς, ἥτις ἑλώδης καὶ τελματώδης οὖσα καὶ κάθυγρος, δόνακας πολλοὺς ἀναδίδωσι.

497. ΑΓΝΟΥ ΣΤΡΥΜΟΝΟΣ. Ἁγνοῦ διὰ τὸ καθαρὸν καὶ διειδὲς φυλάττειν τὸ ὕδωρ αὐτοῦ. Ἔστιν οὗτος ποταμὸς Θρᾴκης. ΘΕΟΥΣ ΔΕ ΤΙΣ ΤΟ ΠΡΙΝ ΝΟΜΙΖΩΝ ΟΥΔΑΜΟΥ. Ὅστις δὲ τῶν Περσῶν πρὶν οὐκ ἐγίνωσκε τοὺς θεοὺς, τότε προσεκύνει τὸν οὐρανὸν καὶ τὴν γῆν μετὰ λιτῶν καὶ παρακλήσεων. Ἐπεὶ δὲ πολλὰ παρακαλῶν καὶ γονυπετῶν ὁ στρατὸς ἐπαύσατο, διαπερᾷ τὸν πόρον καὶ τὸν ποταμὸν τὸν κρυστάλλῳ πεπηγότα. Λέγει δὲ τὸν Στρυμόνα. Ἄλλως· καὶ ὁ πάνυ ἀσεβὴς, τότε προσεκύνει τὸν οὐρανὸν καὶ τὴν γῆν.

502. ΧΩΣ ΤΙΣ ΜΕΝ. Ὅστις μὲν ὡρμήθη καὶ ὥρμησε περάσαι τὸν πεπηγότα ποταμὸν, πρὶν σκεδασθῆναι πανταχοῦ τὰς ἀκτῖνας τοῦ ἡλίου, ἤγουν πρὸ τοῦ τὸν

ἥλιον ἀνατεῖλαι καὶ τὸ πεπηγὸς θερμᾶναι, κυρεῖ καὶ ὑπάρχει σεσωσμένος, ἀντὶ τȣ͂, ἐσώθη. Κυρίως δὲ σκεδασθῆναι, τὸ ἀφανισθῆναι καὶ παυθῆναι ἐςί.

504. ΦΛΕΓΩΝ ΓΑΡ ΑΥΓΑΙΣ. Ὁ γὰρ λαμπρὸς κύκλος τȣ͂ ἡλίȣ, περιφραςικῶς ὁ ἥλιος, φλέγων καὶ λάμπων ἐν αὐγαῖς καὶ ταῖς οἰκείαις ἀκτῖσι, διῆκε τὸν ποταμὸν μέσον, ἤγȣν διελθεῖν καὶ ῥεῦσαι καὶ λυθῆναι τὸ πεπηγὸς ἐποίησε, θερμαίνων ἐκεῖνον· ἔπιπτον δὲ καὶ ἀπεπνίγοντο ἐν τῷ ποταμῷ συνεχεῖς. Εὐτυχὴς δὲ ἦν ὅςις ταχινώτερον τῶν ἄλλων ἀπέθανεν.

508. ΟΣΟΙ ΔΕ ΛΟΙΠΟΙ, ΚΑΙ ΤΥΧΟΝ. Ὅσοι δὲ ἐπίλοιποι, καὶ ὅσοι ἔτυχον σωτηρίας· ἤτοι ȣ̓κ ἐπνίγησαν· τὴν Θρᾴκην διελθόντες, μόλις ἥκȣσιν ἐπὶ τὴν Περσίδα γῆν, τὴν ἐςιȣ͂χον καὶ ἔχουσαν αὐτῶν τὴν ἑςίαν· ὥςε ςένειν μετὰ τοσαῦτα κακὰ καὶ τὴν πόλιν αὐτῶν, τὴν τȣ̀ς αὐτῆς φιλȣ͂σαν πολίτας, ȣ̔͂ς ἀνεθρέψατο. Τινὲς δὲ τὸ, ὥςε ςενάζειν, ἐπὶ τῆς πόλεως ἀποδιδόασι, καί φασιν, ἥκȣσιν ȣ̔͂τοι πρὸς τὴν αὐτῶν πατρίδα, ὥςε τὴν πόλιν τȣ́τȣς ςενάζειν.

513. ΤΑΥΤ' ΕΣΤ' ΑΛΗΘΗ. Ταῦτα ὅσα εἶπον, ἀληθῆ· πολλὰ δὲ καὶ ἄλλα παρίημι τῶν κακῶν ἃ ὁ θεὸς ἐπελθεῖν ἐποίησε τοῖς Πέρσαις.

515. Ω ΔΥΣΠΟΝΗΤΕ. Ὦ δαῖμον δυσπόνητε, καὶ χαλεπȣ̀ς πόνȣς ἡμῖν ἐμποιήσας, ὡς λίαν βαρὺς ἐνήλȣ καὶ ἐπήδησας πᾶσι τοῖς Πέρσαις. Ἤγȣν, ὦ χαλεπὴ τύχη, ὡς ἄγαν βαρεῖα ἐπῆλθες τοῖς Πέρσαις.

517. ΟΙ ΕΓΩ ΤΑΛΑΙΝΑ. Φεῦ ἐγὼ ἡ ἀθλία ἕνεκεν τȣ͂ ἀπολομένȣ καὶ ἀφανισθέντος ςρατȣ͂.

520. ΥΜΕΙΣ ΔΕ ΦΑΥΛΩΣ. Πρὸς τὸν χορὸν ἡ Ἄτοσσα φησὶν, ὑμεῖς δὲ ȣ̓κ ἀληθῶς αὐτὰ τὰ ὀνείρατα ἐκρίνατε. Ὀνείρατα δέ φησιν ἃ εἴρηκεν ἐν τῇ ἀρχῇ, λέγȣσα, πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι. Καὶ, Ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν Φοίϐȣ.

521. ΟΜΩΣ Δ' ΕΠΕΙΔΗ. Ὅμως ἐπειδὴ ἡ ὑμετέρα φάτις καὶ κρίσις ȣ̔́τως ἐκύρωσε, δηλαδὴ λέγȣσά μοι εὔξασθαι θεοῖς, θέλω τȣ͂το ποιῆσαι πρῶτον, ἔπειτα ἥξω λαϐȣ͂σα ἀπὸ τῶν ἐμῶν οἴκων δωρήματα τῇ γῇ τε καὶ νεκροῖς, πέλανον. Πέλανος δέ ἐςιν ὁ ἐζυμωμένος καὶ πεπηγὼς πλακȣ͂ς. Λέγεται δὲ καὶ ὁ ῥύπος. Ἄλλως· πέλανον, πεπεμμένον πλακȣ͂ντα.

525. ΕΠΙΣΤΑΜΑΙ ΜΕΝ. Οἶδα μὲν, φησὶν, ἐγὼ, ὅτι ἐπὶ ἐξειργασμένοις καὶ ἤδη φθάσασι γενέσθαι πράγμασι, καὶ φόνοις τῶν Περσῶν, μέλλω θύειν αὐτή· τὸ κακὸν γὰρ ἤδη ἐγένετο· ἀλλ' ὅμως κἂν ἐπὶ τοῖς ζῶσιν ἀνδράσιν εὔξομαι, εἴπως τὸ μέλλον καλῶς ἀποϐήσεται.

526. ΑΛΛ' ΕΣ ΤΟ ΛΟΙΠΟΝ. Ἀλλὰ διὰ τȣ̀ς ζῶντας χρὴ θυσίας ποιεῖν, εἴπȣ τινὲς εἶεν ζωοὶ, ἤτοι ζῶντες.

528. ΠΙΣΤΟΙΣ ΓΕ ΠΙΣΤΑ. Συνεισφέρειν πιςὰς βȣλὰς ἡμῖν πιςοῖς ȣ̔͂σιν εἰς ὑμᾶς. Εἰ δὲ γράφεται πιςȣ̀ς, λέγει, ὑμᾶς δὲ χρὴ πιςȣ̀ς ὄντας πιςὰ βȣλεύεσθαι.

537. ΠΟΛΛΑΙ Δ' ΑΠΑΛΑΙΣ. Πολλαὶ δὲ γυναῖκες κατερεικόμεναι καὶ σχίζȣσαι τὰς καλύπτρας καὶ τȣ̀ς ἰδίȣς χιτῶνας, τέγγȣσι καὶ βρέχȣσι τȣ̀ς κόλπȣς ἐν δάκρυσι μυδαλέοις καὶ διύγροις, θλιϐόμεναι. Οὕτως δὲ ἔμελλεν εἰπεῖν, ὅτι πολλαὶ νέαι γυναῖκες καὶ ἁπαλόχροοι νύμφαι καὶ νῦν ἔτι ἀνδράσι συζευχθεῖσαι, ποιȣ͂σι

τάδε καὶ τάδε. Εἰπὼν δὲ, ἀπαλαῖς χερσὶ, τὸ ὅλον ἀπὸ μέρȣς ἐδήλωσε συνεκδοχικῶς.

541. ΑΙ Δ᾽ ΑΒΡΟΓΟΟΙ ΠΕΡΣΙΔΕΣ. Καὶ αἱ τοῖς γόοις δακνόμεναι, ποθȣ̃σαι ἰδεῖν τὴν ἀρτισυζυγίαν, ἤτοι τὴν πρὸ μικρȣ̃ γενομένην αὐτοῖς σύζευξιν καὶ συνάφειαν μετὰ τῶν ἀνδρῶν. Ἡ ἀρτιζυγίαν, τὴν ὑγιοζυγίαν τῶν ἀνδρῶν. Καὶ ἀφεῖσαι καὶ καταλείψασαι τὰς ἐν τοῖς λέκτροις εὐνὰς τὰς ἁβροχίτωνας, τὴν τέρψιν καὶ ἡδονὴν τῆς αὐτῶν τρυφερᾶς καὶ διακεχυμένης ἡλικίας, πενθȣ̃σιν θρήνοις ἀπληρώτοις καὶ ἀκαταπαύςοις. Ἄλλως· ἁβρογόοι, αἱ ἐντρυφῶσαι τοῖς δάκρυσι.

546. ΚΑΓΩ ΔΕ ΜΟΡΟΝ. Κἀγὼ δὲ διὰ μόρον τῶν οἰχομένων αἴρω καὶ κινῶ πολυπενθῆ δηλονότι γόον. Λείπει δὲ τȣ̃το. Ἄλλως· αἴρω, βαςάζω.

549. ΕΚΚΕΝΟΥΜΕΝΑ. Τῶν ἀνδρῶν.

550. ΗΓΑΓΕ ΠΟΠΟΙ. Ποποῖ καὶ τοτοῖ, ἐπιῤῥήματα σχετλιαςικὰ, ἢ δηλȣ̃ντα τὸ πȣ̃ καὶ τὸ ἐκεῖσε. Εἰ μὲν οὖν ἀναγνώσῃ πόποι, εἴπης ἀντὶ τȣ̃ φεῦ· εἰ δὲ ποποῖ, ἀντὶ τȣ̃ ἀορίςως, καὶ ἐκεῖσε, ἐν ταῖς Ἀθήναις δηλαδή. Ὁμοίως δὲ καὶ εἰ μὲν τότοι, ἀντὶ τȣ̃ φεῦ· εἰ δὲ τοτοῖ, ὡς εἴπομεν. Ἄλλως· ποποῖ, εἰς τὸν πόλεμον.

551. ΞΕΡΞΗΣ Δ᾽ ΑΠΩΛΕΣΕΝ. Ὁ Ξέρξης δὲ πάντα τὰ κακὰ δηλονότι ἐπέσπε καὶ ἐπεσπάσατο ταῖς βαρίδεσσι ναυσὶ, ταῖς ἀπὸ τῆς Βάρεως ȣ̓́σαις· ἥτις ἐςὶ πόλις Περσίδος, ἐξ ἧς καὶ αἱ νῆες βαρίδες· πάσας γὰρ κατέθραυσεν ἐκεῖσε. Ὁ γȣ̃ν πατὴρ αὐτȣ̃ Δαρεῖος ἀβλαβὴς ἦν τόξαρχος καὶ ἡγεμὼν μὴ βλάβην ἐπενεγκὼν τῷ αὐτȣ̃ ςρατεύματι, ὁ φίλος ἄκτωρ καὶ βασιλεὺς τοῖς Σȣσίδαις.

558. ΠΕΖΟΥΣ ΤΕ ΓΑΡ. Πεζȣ̀ς τε γὰρ καὶ θαλασσίȣς αἱ κυανώπιδες νῆες καὶ αἱ μέλαιναι, αἱ ὁμόπτεροι, καὶ τοῖς αὐτοῖς πτεροῖς κȣφιζόμεναι, ἢ αἱ ὁμοίως πτεροῖς θέȣσαι, ἤγαγον ποποῖ, ἤγȣν εἰς τὴν Ἑλλάδα, καὶ αὐτȣ̀ς ἀπώλεσαν ἐκεῖ.

563. ΔΙΑ Δ᾽ ΙΑΟΝΩΝ ΧΕΡΑΣ ΤΥΤΘΑ Δ᾽ ΕΚΦΥΓΕΙΝ ΑΝΑΚΤ᾽ ΑΥΤΩΝ ΩΣ ΑΚΟΥΟΜΕΝ. Περισσοὶ οἱ δύο δὲ δὲ σύνδεσμοι, καὶ τὸ ὡς. Τὸ δὲ ἑξῆς δηλοῖ ȣ̓́τως, μόλις καὶ μικρὸν· τȣ̃το γὰρ δηλοῖ τὸ τυτθὰ· ἀκȣ́ομεν αὐτὸν τὸν ἄνακτα καὶ τὸν βασιλέα διεκφυγεῖν τὰς χέρας τῶν Ἰαόνων καὶ τῶν Ἀθηναίων, ἀνὰ τὰς πεδιήρεις κελεύθȣς καὶ ὁδȣ̀ς τῆς Θρᾴκης τὰς δυσχειμέρȣς. Οὗτοι δὲ, ἤγȣν οἱ Πέρσαι, ἄρα πρωτόμοροι, πρῶτοι ληφθέντες πρὸς ἀνάγκην τȣ̃ μόρȣ καὶ τȣ̃ θανάτȣ δηλαδὴ, περὶ τὰς Κυχρείας ἀκτὰς, ἤγȣν τὰς Ἀττικὰς, ἢ τὰς τῆς Σαλαμῖνος. Ἢ τὸ λειφθέντες, διὰ διφθόγγȣ, ἀντὶ τȣ̃ ἀπομείναντες, καὶ κείμενοι τεθνεῶτες περὶ τὰς ἀκτὰς τῆς Κυχρείας καὶ τῆς Σαλαμῖνος, διὰ τὴν ἀνάγκην τȣ̃ θανάτȣ. Τὸ δὲ ἠὲ, καὶ τὸ ὀὰ, ἀντὶ τȣ̃ φεῦ. Ἄλλως· τοί δ᾽ ἄρα πρωτόμοροι. Περὶ τῶν τεθνηκότων ἐν Σαλαμῖνι, ἤτοι οἱ πρῶτοι ἀποθανόντες· τὸ δὲ ἑξῆς τȣ́τȣ, ἐςὶ, σκύλλονται παρ᾽ ἀναύδων.

569. ΠΡΟΣ ΑΝΑΓΚΑΝ. Τὴν τȣ̃ θανάτȣ. Ὅμηρος,

——— κατὰ μοῖρ᾽ ἐπέδησε.

570. ΟΑ, ΣΤΕΝΕ ΚΑΙ ΔΑΚΝΑΖΟΥ. Πρὸς ἑαυτὸν τȣ̃το λέγει ὁ χορὸς, ςέναζε, καὶ δακνάζȣ· παραγώγως ἀντὶ τȣ̃ δάκνȣ· βαρὺ δ᾽ ἀμβόασον ȣ̓ρανί᾽ ἄχη,

ἀντὶ τȣ͂ ὀξέως κώκυσον ȣ̓ράνια, ἤγȣν μέχρι τȣ͂ ȣ̓ρανȣ͂ διηκέτω τὸ βόημα ἐπὶ τὰ νῦν καταλαβόντα ἡμᾶς ἄχη.

575. ΤΕΙΝΕ ΔΕ ΔΥΣΒΑΥΚΤΟΝ. Τεῖνε δὲ αὐδὰν καὶ φωνὴν, τάλαιναν καὶ τληπαθῆ, δυσβάϋκτον καὶ θρηνητικὴν, βοᾶτιν καὶ βοητικήν.

577. ΓΝΑΜΠΤΟΜΕΝΟΙ Δ' ΑΛΙ. Γναμπτόμενοι δὲ καὶ συντριβόμενοι οἱ Πέρσαι τῇ δεινῇ θαλάσσῃ, σκύλλονται καὶ σύρονται καὶ ἐσθίονται πρὸς τῶν ἀναύδων καὶ ἀφώνων παίδων τῆς ἀμιάντȣ δηλαδὴ θαλάσσης. Οὐ γὰρ μιαίνεται πώποτε, καὶ πολλῶν μολυσμάτων ἐπιχυθέντων αὐτῇ. Ἀναύδων δὲ παίδων τῆς θαλάσσης, τῶν ἰχθύων λέγει.

581. ΤΟΚΗΕΣ Δ' ΑΠΑΙΔΕΣ. Οἱ τοκῆες δὲ καὶ οἱ γονεῖς οἱ γέροντες ἔῤῥανται καὶ βρέχονται τοῖς δάκρυσιν, ὀδυρόμενοι τὰ ἐκ τȣ͂ δαίμονος καὶ τῆς τύχης αὐτοῖς ἐπελθόντα ἄχθη, τὸ πᾶν δὴ κλύȣσι καὶ μανθάνȣσιν ἄχος. Οἱ δὲ ȣ̓κέτι Περσονομȣ͂νται, καὶ κατὰ τȣ̀ς Περσῶν νόμȣς πολιτεύονται, καὶ ὑπὸ τῶν Περσῶν ἄρχονται καὶ διϊθύνονται· ȣ̓δὲ δασμοφορȣ͂σι καὶ τοῖς τέλεσι πρόσκεινται, ἃ ἔθος ἦν αὐτοῖς διδόναι τοῖς ἄρχȣσιν· ἐφθάρησαν γάρ.

590. ΟΥΤ' ΕΣ ΓΑΝ. Οὔτε εἰς τὴν γῆν προσπίπτοντες, ἤγȣν προσκυνȣ͂ντες τὸν βασιλέα, ἄρξονται καὶ ὑποκλιθήσονται. Ἡ γὰρ βασιλικὴ ἰσχὺς ὤλετο.

591. ΒΑΣΙΛΕΙΑ ΓΑΡ. Τὰ τοιαῦτα πάντα κτητικὰ μακρὸν ἔχει τὸ α΄.

594. ΟΥΔ' ΕΤΙ ΓΛΩΣΣΑ. Οὐδ' ἔτι ἡ τῶν Περσῶν γλῶσσα ἐν φυλακαῖς· ἠλευθέρωται γὰρ αὐτοῖς ἡ γλῶσσα πρὸς τὸ κακηγορεῖν βασιλέα. Οὐδένα γὰρ νῦν δεδίασιν οἱ ὑπήκοοι· ὅτι λαὸς ἐλύθη ὑπὸ τῆς αὐτȣ͂ δυνάμεως τὸν ζυγὸν ὑφ' ȣ͂ συνείχετο τὰ πλεῖςα καὶ ὑπεκλίνετο. Ἢ, ἔλυσε τὸν ζυγὸν τῆς ἀλκῆς, ἤτοι τῆς βασιλικῆς δυνάμεως. Ἡ γὰρ βασιλικὴ διόλωλεν ἰσχὺς, τῶν ἡγεμόνων καὶ τῶν ἀρχόντων δηλαδή. Ἄλλως· ζυγὸν ἀλκᾶς, ἡ ἀλκή.

597. ΑΙΜΑΧΘΕΙΣΑ. Ἡ ἄρȣρα καὶ ἡ γῆ καὶ ἡ χώρα τȣ͂ Αἴαντος ἡ περικλύςα καὶ περικλυζομένη τῇ θαλάσσῃ δηλαδὴ νῆσος, ἤγȣν ἡ Σαλαμὶν, ἔχει τὰ σώματα τῶν Περσῶν.

Γ΄.

600. ΦΙΛΟΙ, ΚΑΚΩΝ. Ὦ φίλοι, ὅςις κυρεῖ καὶ ὑπάρχει ἔμπορος τῶν κακῶν, ἤγȣν ἐμπλέων τοῖς κακοῖς, γινώσκει ὅτι ὅταν ἐπέλθῃ κλύδων καὶ ζάλη τῶν κακῶν τοῖς ἀνθρώποις, φιλεῖ καὶ ἔθος ἔχει φοβεῖσθαι εἰς πάντα, ἤγȣν καὶ εἰς τὰ μετὰ ταῦτα· ὅταν δὲ ὁ δαίμων καὶ τύχη εὐροῇ, καὶ καλῶς καὶ εὐτυχῶς ῥέῃ καὶ ἐπέρχηται, ἔθος ἔχει, ἀπὸ κοινȣ͂ πάλιν, θαῤῥεῖν τὴν αὐτὴν εὐτυχίαν ȣ̓ριοδρομεῖν καὶ ἐς τὸ μετέπειτα. Ἄλλως· κακῶν μὲν ὅςις, καὶ τὰ ἑξῆς. Ὁ νȣ͂ς, ὅτι ἔθος ἔχȣσιν οἱ δυςυχȣ͂ντες δυςυχίαν φαντάζεσθαι, οἱ δὲ εὐτυχȣ͂ντες, εὐτυχίαν.

604. ΔΑΙΜΟΝ' ΟΥΡΙΕΙΝ ΤΥΧΗΣ. Παρὰ τὸ Ὁμηρικὸν,

Τοῖος γὰρ νόος ἐςὶν ἐπιχθονίων ἀνθρώπων,
Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

605. ΕΜΟΙ ΓΑΡ ΗΔΗ. Ἐμοὶ, φησὶ, φόβȣ γέμοντα τὰ πάντα φαίνεται

ἐν τοῖς ἐμοῖς ὄμμασιν ἀνταῖα καὶ ἐμφανῆ καὶ ἄντην, οἷον καὶ κατὰ πρόσωπον, ἀπὸ θεῶν. Τινὲς δὲ εἰς τὸ πλέα ςίζοντες, ὡς ἐξ ἄλλης ἀρχῆς τῦτο συντάσσουσιν, ταὐταῖα λέγοντες, οἷον ἐν τοῖς ὄμμασι τὰ τῶν θεῶν ἐναντία φαίνεται. Τῦτ' ἔςιν, ἀντικειμένυς ἡμῖν ὁρῶ τὺς θεύς.

607. ΟΥ ΠΑΙΩΝΙΟΣ. Ἀλλὰ φθαρτικός.

613. ΒΟΟΣ Τ' ΑΦ' ΑΓΝΗΣ. Ἁγνὴν τὴν βῦν καλεῖ, ἢ διὰ τὸ τοῖς θεοῖς ἀεὶ τὰς βῦς θύεσθαι, ἢ διὰ τὸ ταύτην εἶναι λευκήν· τὰ γὰρ λευκὰ, καὶ καθαρὰ καὶ φωτεινὰ καὶ ἀῤῥύπωτα. Ἢ διὰ τὸ ἀγελαίαν εἶναι· τὰ γὰρ ἐν τοῖς ὄρεσι διατρίβοντα, καθαρώτερα καὶ ὑγιεινότερα τῶν ἄλλων. Ἢ ἁγνῆς, τῆς ἀσινῦς, καὶ μηδέ τινα βλάβην ἐχύσης, καὶ ποδὸς ὖ ςερηθείσης ἢ ὀφθαλμῦ.

614. ΠΑΜΦΑΕΣ. Φαιδρόν.

615. ΠΑΡΘΕΝΟΥ ΠΗΓΗΣ ΜΕΤΑ. Καθαρᾶς. Ἀντὶ τῦ, σὺν ὕδατι κρηναίῳ. Σημείωσαι δὲ τὸ εἶδος τῶν χοῶν.

616. ΑΚΗΡΑΤΟΝ ΤΕ ΠΟΤΟΝ. Γάνος τόδε ἀπὸ τῆς μητρὸς τῆς παλαιᾶς ἀμπέλυ. Ἀκήρατον ποτὸν τὸν οἶνον λέγει, τὸν ἔχοντα μητέρα τὴν ἄμπελον. Ἀγρίας δὲ, τῆς ἀγριοποιῦ, διὰ τὴν μέθην. Ἤγυν τῆς ἀγρίυς ποιύσης τὺς μεθύοντας. Ἢ, τῆς ἐν τῷ ἀγρῷ ὔσης. Καὶ γὰρ ἐν τοῖς ἀγροῖς αἱ ἄμπελοι.

619. ΞΑΝΘΗΣ ΕΛΑΙΑΣ ΚΑΡΠΟΣ ΕΥΩΔΗΣ ΠΑΡΑ. Πάρεστι γῦν ταῖς ἐμαῖς χερσὶ καὶ καρπὸς ἐλαίας ξανθῆς τῆς αἰὲν θαλλύσης τοῖς φύλλοις. Ἀειθαλὴς γὰρ, καὶ ἀεὶ τὰ φύλλα ἔχει. Διὸ προσέθηκεν, ἐν φύλλοισι θαλλύσης, πρὸς τὸν καρπόν. Οὐ γὰρ διηνεκὴς ὁ καρπός. Ξανθῆς δὲ, διὰ τὸ τὸ ὄπισθεν μέρος τῦ φύλλυ ὡς πρασινίζον ἐμφαίνεσθαι.

620. ΑΝΘΗ ΤΕ ΠΛΕΚΤΑ. Στέμματα.

622. ΤΟΝ ΤΕ ΔΑΙΜΟΝΑ. Ὡς θεὸς γὰρ παρὰ Πέρσαις τιμᾶται.

625. ΠΡΕΣΒΟΣ ΠΕΡΣΑΙΣ. Τιμία.

626. ΣΥ ΤΕ ΠΕΜΠΕ. Ὁ χορός φησι πρὸς τὴν Ἄτοσσαν, ὅτι σὺ θυσίαζε τοῖς καταχθονίοις θεοῖς· ἡμεῖς δὲ αἰτησόμεθα ἐν ὕμνοις τὺς πομπὺς τῶν φθιμένων, ἤγυν τὺς θεὺς τὺς κάτω, τὺς πέμποντας ἄνω τὺς νεκρούς, εἶναι κάτω τῆς γῆς πραεῖς πρὸς τὸν Δαρεῖον, ὥςε συγχωρῆσαι αὐτὸν πρὸς ἡμᾶς ἐλθεῖν.

630. ΑΛΛΑ ΧΘΟΝΙΟΙ ΔΑΙΜΟΝΕΣ. Ἀλλ' ὦ χθόνιοι θεοὶ, γῆ τε καὶ Ἑρμῆ καὶ ὦ Πλύτων, βασιλεῦ τῶν νεκρῶν, πέμψατε ἐς φῶς, ἤγυν ἐνταῦθα πρὸς ἡμᾶς ἀπὸ τῶν κάτω, τὴν ψυχὴν τῦ Δαρείυ. Εἰ γάρ τι ἄκος τῶν ἡμετέρων κακῶν πλέον καὶ ἐπέκεινα οἶδεν, ἤγυν νικῆσον τὰ ἡμῶν κακὰ, μόνος ἂν οὗτος ἀπὸ τῶν ἀνθρώπων εἴποι τὸ πέρας καὶ πῶς αὐτὰ καὶ πότε καὶ τίνι τρόπῳ ἐκφύγωμεν.

635. Η Ρ' ΑΙΕΙ ΜΟΥ ΜΑΚΑΡΙΤΑΣ. Ἆρα ἀκύει μυ ὁ μακαρίτης θεὸς Δαρεῖος ὁ ἰσόθεος βασιλεὺς, ἱέντος καὶ πέμποντος τὰ βάρβαρα λόγια σαφηνῆ καὶ σαφῆ; Οὐ γὰρ δυσνόητα ταῦτά φημι τὰ ποικίλα βάγματα καὶ φωνήματα, τὰ αἰανῆ, καὶ σκοτεινὰ, καὶ θλίψιν καὶ ἀχλὺν ἐμποιῦντα τοῖς κλαίυσιν. Ἰςέον δὲ ὅτι μακαρίτης ὁ τεθνεὼς, μακάριος ὁ ζῶν.

642. ΑΛΛΑ ΣΥ ΜΟΙ ΓΑ ΤΕ. Ἀλλὰ σύ μοι ὦ γῆ, καὶ ἄλλοι ἡγεμόνες τῶν χθονίων καὶ τῶν νεκρῶν, τὸν μεγαλαυχῆ δαίμονα Δαρεῖον ἐρχόμενον ἐκ τῶν

τȣ ᾅδȣ δόμων, αἰνέσατε, ἤγȣν συναινέσατε, καὶ συναρήξατε αὐτῷ τῷ ποιῆσαι τȣτί. Τὸν καταχθόνιον ȣ̃ν Δαρεῖον αἰνέσατε ἐξ ᾅδȣ δόμων μολεῖν. Τὸν Σȣσιγενῆ θεὸν τῶν Περσῶν, ἤγȣν τὸν Δαρεῖον.

649. Η ΦΙΛΟΣ ΑΝΗΡ. Ὄντως φίλος ἦν ἀνὴρ ἐμοὶ ὁ Δαρεῖος, ὄντως φίλος καὶ ὁ τάφος ὃς κρύπτει τὰ φίλα ἤθη, τȣτ' ἔςι τȣ̀ς προσφιλεῖς τρόπȣς ἐμοὶ τȣ̃ Δαρείȣ. Ὄχθον γὰρ τὸν τάφον καλεῖ, διὰ τὸν ἀναχωματισμόν.

651. ΑΙΔΩΝΕΥΣ Δ' ΑΝΙΕΙ ΔΑΡΕΙΟΝ, ΟΙΟΝ ΑΝΑΚΤΑ ΔΑΡΕΙΑΝ. Ὁ Ἀϊδωνεὺς δὲ ὁ ἀναπομπὸς τῶν νεκρῶν ἀνίει, καὶ ἀναπέμψει, καὶ ἀναδώσει τῆς γῆς τὸν Δαρεῖον βασιλέα, οἷον τὸν καὶ Δαρειὰν κεκλημένον. Ἢ τὴν Δαρείαν ψυχὴν ἀναπέμψει ὁ ᾅδης. Τȣ̃το ἔξωθεν. Ἄλλως· τὸν μόνον γενόμενον βασιλέα, διὰ τὸ κηδεμονικόν. Ἔοικε δὲ ὁ Δαρεῖος καὶ Δαρειὰν λέγεσθαι.

656. ΘΕΟΜΗΣΤΩΡ Δ' ΕΚΙΚΛΗΣΚΕΤΟ. Θεομήςωρ τε καὶ τὰ θεῖα βȣλευόμενος ἐκαλεῖτο τοῖς Πέρσαις· ȣ̓ μόνον τε ἐκαλεῖτο τȣ̃το, ἀλλὰ καὶ θεομήςωρ ὑπῆρχεν, ἐπειδὴ καὶ καλῶς ἐποδώκει καὶ ἴθυνε καὶ ὑπὸ τὸν ἑαυτȣ̃ πόδα ἡνιόχει τὸν ςρατόν.

659. ΒΑΛΗΝ ΑΡΧΑΙΟΣ. Βαλὴν ὁ βασιλεὺς λέγεται. Εὐφορίων δέ φησι Θȣρίων εἶναι τὴν διάλεκτον. Ὅθεν καὶ βαληναῖον ὄρος, ὅ ἐςι βασιλικόν. Φησὶν οὖν, ὦ ἀρχαῖε βασιλεῦ ἴκȣ καὶ παραγενȣ̃ καὶ ἐλθὲ ἐπ' ἄκρον κόρυμβον ὄχθȣ, ἐπὶ τὴν ἄκραν ἐξοχὴν καὶ περιωπὴν τȣ̃ τάφȣ, ἀείρων καὶ ἐπαίρων καὶ κινῶν τὴν εὔμαριν, καὶ τὸ ὑπόδημα τȣ̃ ποδὸς, κροκόβαπτον καὶ ἐρυθρὸν· ἔςι δὲ τȣ̃το περίφρασις· πιφαύσκων καὶ δεικνύων καὶ ἀναφαίνων τὸν φάλαρον καὶ τὸν λόφον τῆς βασιλικῆς τιάρας καὶ περικεφαλαίας. Περιφραςικῶς δὲ τὸ ςέμμα φησί.

666. ΒΑΣΚΕ ΠΑΤΕΡ. Βάσκε καὶ πορεύθητι ὦ Δαρεῖε δέσποτα, ὅπως κλύῃς καὶ ἀκȣ́σῃς καὶ μάθῃς καινὰ καὶ ἀλλόκοτα καὶ νέα ἄχη τȣ̃ Ξέρξȣ. Ὡς ἐπῳδῇ δὲ κέχρηται τῇ βάσκε πάτερ Δαρειάν.

670. ΣΤΥΓΙΑ ΓΑΡ ΤΙΣ. Ἐπιτετάνυςαι γὰρ καὶ ἐξήπλωται ςυγερὰ καὶ μισητή τις ἀχλὺς καὶ θλίψις. Πᾶσα γὰρ νεολαία καὶ ἡ τῶν Περσῶν ἡλικία καὶ νεότης ἐξαπόλωλε καὶ παρῴχετο.

677. ΤΙ ΤΑΔΕ ΔΥΝΑΤΑ ΔΥΝΑΤΑ. Τί ὦ δυνάςα τάδε δίδυμα καὶ διπλᾶ ἁμάρτια καὶ ἁμαρτήματα διάγοιεν καὶ διάγȣσι περὶ τῇ σῇ γῇ τῇδε; Δίδυμα δὲ, ἢ διὰ τὸ ἐπὶ Δαρείȣ μὲν τριάκοντα φονευθῆναι χιλιάδας, νῦν δὲ ἐπὶ τȣ̃ Ξέρξȣ μυριάδας· ἢ, ὅτι Ξέρξȣ καὶ Πέρσȣ τινὸς εἰσὶν ἁμαρτίαι καὶ ἀτυχίαι ἡρμοσμέναι ὁμȣ̃· ἢ τὰ δίδυμα, τὰ ἐν Πλαταιαῖς γεγενημένα κακὰ καὶ τὰ ἐν Σαλαμῖνι. Τὸ δὲ δυνάτα, ἀντὶ τȣ̃ δυνάςα.

679. ΑΜΑΡΤΙΑ. Ὁμȣ̃ ἡρμοσμένα. Γράφεται καὶ ἁμαρτήματα.

682. ΝΑΕΣ ΑΝΑΕΣ. Αἱ μηκέτι νῆες· ἀπώλοντο γάρ.

Δ'.

683. Ω ΠΙΣΤΑ ΠΙΣΤΩΝ. Τὸ τȣ̃ Δαρείȣ εἴδωλον ἐξ ᾅδȣ ἀνελθὸν φησὶ πρὸς τȣ̀ς Πέρσας, ὦ πιςὰ γεννήματα καὶ ἀνατροφαὶ πατέρων πιςῶν ἐμοί, ὦ

ἐκ πιςῶν πατέρων πιςοὶ υἱοὶ, ἥλικές τε καὶ ἰσήλικες τῆς ἐμῆς ἡλικίας, τίνα πόνον καὶ κακοπάθειαν πάσχει ἡ πόλις, καὶ ςενάζει, καὶ οἷον ἐκ τῶν ὀδυρμῶν κέκοπται καὶ χαράσσεται ἡ γῆ κάτωθεν. Τὸ δὲ εἴρηκεν ὅτι ἐκ τῶν πολλῶν ὑμῶν ςεναγμῶν ἡ γῆ ῥαγεῖσα ἐνέδωκέ με.

686. ΛΕΥΣΣΩΝ Δ᾽ ΑΚΟΙΤΙΝ. Ἐγὼ δὲ βλέπων ἐγγὺς τοῦ ἐμοῦ τάφου παρακαθημένην τὴν ἐμὴν ὁμόκοιτον γυναῖκα, φοβοῦμαι μὴ κακὸν αὐτῇ ἐπιγέγονε. Τὰς χοὰς δὲ, ἤτοι τὰς θυσίας ἃς ἐμοὶ ἔθυσεν ἱλαςηρίους, ἀπεδεξάμην.

688. ΥΜΕΙΣ ΔΕ ΘΡΗΝΕΙΤ᾽ ΕΓΓΥΣ. Ἐγγὺς ἑςῶτες τοῦ ἐμοῦ τάφου, θρηνεῖτε καὶ καλεῖσθε καὶ ἀνακράζετέ με ἐξελθεῖν ἐκ τοῦ ᾅδου, ῥοθιάζοντες καὶ μεγάλως ἠχοῦντες καὶ θρηνοῦντες ἐν γόοις ψυχαγωγοῖς, ἤγουν τοῖς τὰς ψυχὰς ἐκ τοῦ ᾅδου ἀνακομίζουσιν· οὐκ ἔτι δὲ ῥᾴδιον τὸ ἐξελθεῖν με ἀπὸ τοῦ τάφου, οὐδὲ δυνατόν.

690. ΟΥΚ ΕΥΕΞΟΔΟΝ. Ὅθεν οὐ δυνατὸν ταχέως ἐξιέναι. Ἀπολογεῖται δὲ ὡς βραδύνας.

691. ΑΛΛΩΣ ΤΕ ΠΑΝΤΩΣ. Καὶ ἄλλως δὲ, φησὶν, οἱ κάτωθεν τῆς γῆς θεοὶ, οἷον ὁ Πλούτων καὶ ἡ Περσεφόνη καὶ οἱ τῶν νεκρῶν ἁπλῶς κυριεύοντες, ἀμείνους καὶ βελτίονες καὶ ἑτοιμότεροι εἰσὶν εἰς τὸ λαβεῖν παρ᾽ ἑαυτοῖς τοὺς ἀνθρώπους, καὶ κατέχειν ἐν τῷ ᾅδῃ, παρὸ μεθιέναι, καὶ καταλεῖψαι, καὶ ἐᾶσαι αὐτοὺς ἀνελθεῖν εἰς τὴν γῆν ἄνωθεν.

693. ΟΜΩΣ Δ᾽ ΕΚΕΙΝΟΙΣ. Ἤτοι, μέγα κἀγὼ δυνηθεὶς παρὰ τοῖς κάτω θεοῖς, οἷα βασιλεὺς, καὶ παρ᾽ ἐκείνων τιμώμενος, καὶ μὴ λογιζόμενος ὡς οἱ κοινῶς ἀποθνήσκοντες, ἥκω· ἐτάχυνα δὲ, ὡς μὴ μεμφθῶ τοῦ χρόνου καὶ τῆς βραδυτῆτος ἕνεκα.

695. ΝΕΟΧΜΟΝ. Νεωςί. Παρὰ τὸ αἰχμὴν γενόμενον

700. ΜΑΚΕΣΤΗΡΑ ΜΥΘΟΝ. Μήκους ἐχόμενον.

702. ΔΙΟΜΑΙ ΜΕΝ ΧΑΡΙΣΑΣΘΑΙ. Τοῦτό φησι, δέδια μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἐφ᾽ ᾧ θέλξαι τὴν σὴν ψυχὴν, δέδια δὲ καὶ ἀληθεῦσαι· λυπηθήσῃ γάρ.

705. ΑΛΛ᾽ ΕΠΕΙ ΔΕΟΣ. Εἰπόντος τοῦ χοροῦ πρὸς τὸν Δαρεῖον ὅτι φοβοῦμαι μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἵνα μὴ λυπηθῇς, φησὶ πρὸς αὐτὸν ὁ Δαρεῖος, ἀλλ᾽ ἐπεὶ φοβῇ, ἔασον τοῦτο. Εἶτα ςρέφει τὸν λόγον πρὸς τὴν Ἄτοσσαν, καί φησιν, ὦ εὐγενὲς γύναι ξύννομε καὶ ξυμμερίςρια τῶν ἐμῶν λέκτρων, παυσαμένη τῶνδε τῶν θρήνων, φανερόν τι μοὶ εἰπὲ, ἵνα μάθω ὃ πάσχετε.

708. ΑΝΘΡΩΠΕΙΑ Δ᾽ ΑΝ ΤΟΙ. Ὁ Δαρεῖος παραμυθούμενος τῇ αὐτοῦ γυναικὶ, φησὶν ὅτι πήματα τύχοι καὶ ἐπέλθοι οἷα πολλάκις ἐν τοῖς βροτοῖς. Ἢ οὕτως, ἀνθρώπινα καὶ οὐ καινὰ ἂν τοῖς βροτοῖς τύχοι καὶ ἐπέλθοι ἐν πήματι καὶ ἐν βλάβῃ. Ὡς γὰρ ἄνθρωποι, πάσχουσι, καὶ τὰ αὐτῶν πήματα, οὐ θεῖά τινα, ἀλλ᾽ ἀνθρώπινα κέκληνται.

709. ΠΟΛΛΑ ΜΕΝ ΓΑΡ ΕΚ ΘΑΛΑΣΣΗΣ. Πολλὰ μὲν γὰρ κακὰ ἐκ τῆς θαλάσσης καὶ τῆς γῆς τοῖς ἀνθρώποις ἐπέρχονται, ἢν ὁ μάσσων καὶ ὁ μείζων βίοτος ἐκταθῇ πρόσω, ἤγουν ἐν μακρῷ τοῦ βίου χρόνῳ.

716. ΩΣ ΕΙΠΕΙΝ ΕΠΟΣ. Ὡς ἐν συντόμῳ λόγῳ περιλαβεῖν καὶ εἰπεῖν συλλήβδην πάντα. Ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ,

Οὐκ ἔςιν οὐδὲν δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος.

τȢ ᾅδȢ δόμων, αἰνέσατε, ἤγȢν συναινέσατε, καὶ συναρήξατε αὐτῷ τῷ ποιῆσαι τȢτί. Τὸν καταχθόνιον ȣ̃ν Δαρεῖον αἰνέσατε ἐξ ᾅδȢ δόμων μολεῖν. Τὸν Σȣσιγενῆ Θεὸν τῶν Περσῶν, ἤγȣν τὸν Δαρεῖον.

649. Η ΦΙΛΟΣ ΑΝΗΡ. Ὄντως φίλος ἦν ἀνὴρ ἐμοὶ ὁ Δαρεῖος, ὄντως φίλος καὶ ὁ τάφος ὃς κρύπτει τὰ φίλα ἤθη, τȣ̃τ᾽ ἔϛι τȣ̀ς προσφιλεῖς τρόπȣς ἐμοὶ τȣ̃ Δαρείȣ. Ὄχθον γὰρ τὸν τάφον καλεῖ, διὰ τὸν ἀναχωματισμόν.

651. ΑΙΔΩΝΕΥΣ Δ᾽ ΑΝΙΕΙ ΔΑΡΕΙΟΝ, ΟΙΟΝ ΑΝΑΚΤΑ ΔΑΡΕΙΑΝ. Ὁ Ἀϊδωνεὺς δὲ ὁ ἀναπομπὸς τῶν νεκρῶν ἀνίει, καὶ ἀναπέμψει, καὶ ἀναδώσει τῆς γῆς τὸν Δαρεῖον βασιλέα, οἷον τὸν καὶ Δαρειὰν κεκλημένον. Ἢ τὴν Δαρείαν ψυχὴν ἀναπέμψει ὁ ᾅδης. Τȣ̃το ἔξωθεν. Ἄλλως· τὸν μόνον γενόμενον βασιλέα, διὰ τὸ κηδεμονικόν. Ἔοικε δὲ ὁ Δαρεῖος καὶ Δαρειὰν λέγεσθαι.

656. ΘΕΟΜΗΣΤΩΡ Δ᾽ ΕΚΙΚΛΗΣΚΕΤΟ. Θεομήϛωρ τὲ καὶ τὰ θεῖα βȣλευόμενος ἐκαλεῖτο τοῖς Πέρσαις· ȣ̓ μόνον τὲ ἐκαλεῖτο τȣ̃το, ἀλλὰ καὶ θεομήϛωρ ὑπῆρχεν, ἐπειδὴ καὶ καλῶς ἐποδώκει καὶ ἴθυνε καὶ ὑπὸ τὸν ἑαυτȣ̃ πόδα ἡνιόχει τὸν ϛρατόν.

659. ΒΑΛΗΝ ΑΡΧΑΙΟΣ. Βαλὴν ὁ βασιλεὺς λέγεται. Εὐφορίων δέ φησι Θȣρίων εἶναι τὴν διάλεκτον. Ὅθεν καὶ βαληναῖον ὄρος, ὅ ἐϛι βασιλικόν. Φησὶν ȣ̓̃ν, ὦ ἀρχαῖε βασιλεῦ ἴκȣ καὶ παραγενȣ̃ καὶ ἐλθὲ ἐπ᾽ ἄκρον κόρυμβον ὄχθȣ, ἐπὶ τὴν ἄκραν ἐξοχὴν καὶ περιωπὴν τȣ̃ τάφȣ, ἀείρων καὶ ἐπαίρων καὶ κινῶν τὴν εὔμαριν, καὶ τὸ ὑπόδημα τȣ̃ ποδὸς, κροκόβαπτον καὶ ἐρυθρȣ̃ν· ἔϛι δὲ τȣ̃το περίφρασις· πιφαύσκων καὶ δεικνύων καὶ ἀναφαίνων τὸν φάλαρον καὶ τὸν λόφον τῆς βασιλικῆς τιάρας καὶ περικεφαλαίας. Περιφραϛικῶς δὲ τὸ ϛέμμα φησί.

666. ΒΑΣΚΕ ΠΑΤΕΡ. Βάσκε καὶ πορεύθητι ὦ Δαρεῖε δέσποτα, ὅπως κλύῃς καὶ ἀκȣ́σῃς καὶ μάθῃς καινὰ καὶ ἀλλόκοτα καὶ νέα ἄχη τȣ̃ Ξέρξȣ. Ὡς ἐπῳδῇ δὲ κέχρηται τῇ βάσκε πάτερ Δαρειάν.

670. ΣΤΥΓΙΑ ΓΑΡ ΤΙΣ. Ἐπιτετάνυϛαι γὰρ καὶ ἐξήπλωται ϛυγερὰ καὶ μισητή τις ἀχλὺς καὶ θλίψις. Πᾶσα γὰρ νεολαία καὶ ἡ τῶν Περσῶν ἡλικία καὶ νεότης ἐξαπόλωλε καὶ παρῴχετο.

677. ΤΙ ΤΑΔΕ ΔΥΝΑΤΑ ΔΥΝΑΤΑ. Τί ὦ δυνάϛα τάδε δίδυμα καὶ διπλᾶ ἁμάρτια καὶ ἁμαρτήματα διάγοιεν καὶ διάγȣσι περὶ τῇ σῇ γῇ τῇδε; Δίδυμα δὲ, ἢ διὰ τὸ ἐπὶ Δαρείȣ μὲν τριάκοντα φονευθῆναι χιλιάδας, νῦν δὲ ἐπὶ τȣ̃ Ξέρξȣ μυριάδας· ἢ, ὅτι Ξέρξȣ καὶ Πέρσȣ τινὸς εἰσὶν ἁμαρτίαι καὶ ἀτυχίαι ἡρμοσμέναι ὁμȣ̃· ἢ τὰ δίδυμα, τὰ ἐν Πλαταιαῖς γεγενημένα κακὰ καὶ τὰ ἐν Σαλαμῖνι. Τὸ δὲ δυνάτα, ἀντὶ τȣ̃ δυνάϛα.

679. ΑΜΑΡΤΙΑ. Ὁμȣ̃ ἡρμοσμένα. Γράφεται καὶ ἁμαρτήματα.

682. ΝΑΕΣ ΑΝΑΕΣ. Αἱ μηκέτι νῆες· ἀπώλοντο γάρ.

Δ′.

683. Ω ΠΙΣΤΑ ΠΙΣΤΩΝ. Τὸ τȣ̃ Δαρείȣ εἴδωλον ἐξ ᾅδȣ ἀνελθὸν φησὶ πρὸς τȣ̀ς Πέρσας, ὦ πιϛὰ γεννήματα καὶ ἀνατροφαὶ πατέρων πιϛῶν ἐμοὶ, ὦ

ἐκ πιςῶν πατέρων πιςοὶ υἱοὶ, ἥλικές τε καὶ ἰσήλικες τῆς ἐμῆς ἡλικίας, τίνα πόνον καὶ κακοπάθειαν πάσχει ἡ πόλις, καὶ ςενάζει, καὶ οἷον ἐκ τῶν ὀδυρμῶν κέκοπται καὶ χαράσσεται ἡ γῆ κάτωθεν. Τοῦτο δὲ εἴρηκεν ὅτι ἐκ τῶν πολλῶν ὑμῶν ςεναγμῶν ἡ γῆ ῥαγεῖσα ἐνέδωκέ με.

686. ΛΕΥΣΣΩΝ Δ᾽ ΑΚΟΙΤΙΝ. Ἐγὼ δὲ βλέπων ἐγγὺς τοῦ ἐμοῦ τάφου παρακαθημένην τὴν ἐμὴν ὁμόκοιτον γυναῖκα, φοβοῦμαι μὴ κακὸν αὐτῇ ἐπιγέγονε. Τὰς χοὰς δὲ, ἤτοι τὰς θυσίας ἃς ἐμοὶ ἔθυσεν ἱλαςηρίους, ἀπεδεξάμην.

688. ΥΜΕΙΣ ΔΕ ΘΡΗΝΕΙΤ᾽ ΕΓΓΥΣ. Ἐγγὺς ἑςῶτες τοῦ ἐμοῦ τάφου, θρηνεῖτε καὶ καλεῖσθε καὶ ἀνακράζετέ με ἐξελθεῖν ἐκ τοῦ ᾅδου, ῥοθιάζοντες καὶ μεγάλως ἠχοῦντες καὶ θρηνοῦντες ἐν γόοις ψυχαγωγοῖς, ἤγουν τοῖς τὰς ψυχὰς ἐκ τοῦ ᾅδου ἀνακομίζουσιν· οὐκ ἔτι δὲ ῥᾴδιον τὸ ἐξελθεῖν με ἀπὸ τοῦ τάφου, οὐδὲ δυνατόν.

690. ΟΥΚ ΕΥΕΞΟΔΟΝ. Ὅθεν οὐ δυνατὸν ταχέως ἐξιέναι. Ἀπολογεῖται δὲ ὡς βραδύνας.

691. ΑΛΛΩΣ ΤΕ ΠΑΝΤΩΣ. Καὶ ἄλλως δὲ, φησὶν, οἱ κάτωθεν τῆς γῆς θεοὶ, οἷον ὁ Πλούτων καὶ ἡ Περσεφόνη καὶ οἱ τῶν νεκρῶν ἁπλῶς κυριεύοντες, ἀμείνους καὶ βελτίονες καὶ ἑτοιμότεροι εἰσὶν εἰς τὸ λαβεῖν παρ᾽ ἑαυτοῖς τοὺς ἀνθρώπους, καὶ κατέχειν ἐν τῷ ᾅδῃ, παρὸ μεθιέναι, καὶ καταλεῖψαι, καὶ ἐᾶσαι αὐτοὺς ἀνελθεῖν εἰς τὴν γῆν ἄνωθεν.

693. ΟΜΩΣ Δ᾽ ΕΚΕΙΝΟΙΣ. Ἤτοι, μέγα κἀγὼ δυνηθεὶς παρὰ τοῖς κάτω θεοῖς, οἷα βασιλεὺς, καὶ παρ᾽ ἐκείνων τιμώμενος, καὶ μὴ λογιζόμενος ὡς οἱ κοινῶς ἀποθνήσκοντες, ἥκω· ἐτάχυνα δὲ, ὡς μὴ μεμφθῶ τοῦ χρόνου καὶ τῆς βραδυτῆτος ἕνεκα.

695. ΝΕΟΧΜΟΝ. Νεωςί. Παρὰ τὸ αἰχμὴν γενόμενον

700. ΜΑΚΕΣΤΗΡΑ ΜΥΘΟΝ. Μήκους ἐχόμενον.

702. ΔΙΟΜΑΙ ΜΕΝ ΧΑΡΙΣΑΣΘΑΙ. Τοῦτό φησι, δέδια μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἐφ᾽ ᾧ θέλξαι τὴν σὴν ψυχὴν, δέδια δὲ καὶ ἀληθεῦσαι· λυπηθήσῃ γάρ.

705. ΑΛΛ᾽ ΕΠΕΙ ΔΕΟΣ. Εἰπόντος τοῦ χοροῦ πρὸς τὸν Δαρεῖον ὅτι φοβοῦμαι μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἵνα μὴ λυπηθῇς, φησὶ πρὸς αὐτὸν ὁ Δαρεῖος, ἀλλ᾽ ἐπεὶ φοβῇ, ἔασον τοῦτο. Εἶτα ςρέφει τὸν λόγον πρὸς τὴν Ἄτοσσαν, καί φησιν, ὦ εὐγενὲς γύναι ξύννομε καὶ ξυμμερίςρια τῶν ἐμῶν λέκτρων, παυσαμένη τῶνδε τῶν θρήνων, φανερόν τι μοὶ εἰπὲ, ἵνα μάθω ὃ πάσχετε.

708. ΑΝΘΡΩΠΕΙΑ Δ᾽ ΑΝ ΤΟΙ. Ὁ Δαρεῖος παραμυθούμενος τῇ αὐτοῦ γυναικὶ, φησὶν ὅτι πήματα τύχοι καὶ ἐπέλθοι οἷα πολλάκις ἐν τοῖς βροτοῖς. Ἢ οὕτως, ἀνθρώπινα καὶ οὐ καινὰ ἂν τοῖς βροτοῖς τύχοι καὶ ἐπέλθοι ἐν πήματι καὶ ἐν βλάβῃ. Ὡς γὰρ ἄνθρωποι, πάσχουσι, καὶ τὰ αὐτῶν πήματα, οὐ θεῖά τινα, ἀλλ᾽ ἀνθρώπινα κέκληνται.

709. ΠΟΛΛΑ ΜΕΝ ΓΑΡ ΕΚ ΘΑΛΑΣΣΗΣ. Πολλὰ μὲν γὰρ κακὰ ἐκ τῆς θαλάσσης καὶ τῆς γῆς τοῖς ἀνθρώποις ἐπέρχονται, ἢν ὁ μάσσων καὶ ὁ μείζων βίοτος ἐκταθῇ πρόσω, ἤγουν ἐν μακρῷ τοῦ βίου χρόνῳ.

716. ΩΣ ΕΙΠΕΙΝ ΕΠΟΣ. Ὡς ἐν συντόμῳ λόγῳ περιλαβεῖν καὶ εἰπεῖν συλλήβδην πάντα. Ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ,

Οὐκ ἔςιν οὐδὲν δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος.

τῦ ᾅδυ δόμων, αἰνέσατε, ἤγυν συναινέσατε, καὶ συναρήξατε αὐτῷ τῷ ποιῆσαι τυτί. Τὸν καταχθόνιον ὖν Δαρεῖον αἰνέσατε ἐξ ᾅδυ δόμων μολεῖν. Τὸν Συσιγενῆ θεὸν τῶν Περσῶν, ἤγυν τὸν Δαρεῖον.

649. Η ΦΙΛΟΣ ΑΝΗΡ. Ὄντως φίλος ἦν ἀνὴρ ἐμοὶ ὁ Δαρεῖος, ὄντως φίλος καὶ ὁ τάφος ὃς κρύπτει τὰ φίλα ἤθη, τῦτ' ἔςι τὺς προσφιλεῖς τρόπυς ἐμοὶ τῦ Δαρείυ. Ὄχθον γὰρ τὸν τάφον καλεῖ, διὰ τὸν ἀναχωματισμόν.

651. ΑΙΔΩΝΕΥΣ Δ' ΑΝΙΕΙ ΔΑΡΕΙΟΝ, ΟΙΟΝ ΑΝΑΚΤΑ ΔΑΡΕΙΑΝ. Ὁ Ἀϊδωνεὺς δὲ ὁ ἀναπομπὸς τῶν νεκρῶν ἀνίει, καὶ ἀναπέμψει, καὶ ἀναδώσει τῆς γῆς τὸν Δαρεῖον βασιλέα, οἷον τὸν καὶ Δαρειὰν κεκλημένον. Ἢ τὴν Δαρείαν ψυχὴν ἀναπέμψει ὁ ᾅδης. Τῦτο ἔξωθεν. Ἄλλως· τὸν μόνον γενόμενον βασιλέα, διὰ τὸ κηδεμονικόν. Ἔοικε δὲ ὁ Δαρεῖος καὶ Δαρειὰν λέγεσθαι.

656. ΘΕΟΜΗΣΤΩΡ Δ' ΕΚΙΚΛΗΣΚΕΤΟ. Θεομήςωρ τε καὶ τὰ θεῖα βυλευόμενος ἐκαλεῖτο τοῖς Πέρσαις· ὐ μόνον τε ἐκαλεῖτο τῦτο, ἀλλὰ καὶ θεομήςωρ ὑπῆρχεν, ἐπειδὴ καὶ καλῶς ἐποδώκει καὶ ἴθυνε καὶ ὑπὸ τὸν ἑαυτῦ πόδα ἡνιόχει τὸν ςρατόν.

659. ΒΑΛΗΝ ΑΡΧΑΙΟΣ. Βαλὴν ὁ βασιλεὺς λέγεται. Εὐφορίων δέ φησι Θυρίων εἶναι τὴν διάλεκτον. Ὅθεν καὶ βαληναῖον ὄρος, ὅ ἐςι βασιλικόν. Φησὶν ὖν, ὦ ἀρχαῖε βασιλεῦ ἴκυ καὶ παραγενῦ καὶ ἐλθὲ ἐπ' ἄκρον κόρυμβον ὄχθυ, ἐπὶ τὴν ἄκραν ἐξοχὴν καὶ περιωπὴν τῦ τάφυ, ἀείρων καὶ ἐπαίρων καὶ κινῶν τὴν εὔμαριν, καὶ τὸ ὑπόδημα τῦ ποδὸς, κροκόβαπτον καὶ ἐρυθρὸν· ἔςι δὲ τῦτο περίφρασις· πιφαύσκων καὶ δεικνύων καὶ ἀναφαίνων τὸν φάλαρον καὶ τὸν λόφον τῆς βασιλικῆς τιάρας καὶ περικεφαλαίας. Περιφραςικῶς δὲ τὸ ςέμμα φησί.

666. ΒΑΣΚΕ ΠΑΤΕΡ. Βάσκε καὶ πορεύθητι ὦ Δαρεῖε δέσποτα, ὅπως κλύῃς καὶ ἀκύσῃς καὶ μάθῃς καινὰ καὶ ἀλλόκοτα καὶ νέα ἄχη τῦ Ξέρξυ. Ὡς ἐπῳδῇ δὲ κέχρηται τῇ βάσκε πάτερ Δαρειάν.

670. ΣΤΥΓΙΑ ΓΑΡ ΤΙΣ. Ἐπιτετάνυςαι γὰρ καὶ ἐξήπλωται ςυγερὰ καὶ μισητή τις ἀχλὺς καὶ θλίψις. Πᾶσα γὰρ νεολαία καὶ ἡ τῶν Περσῶν ἡλικία καὶ νεότης ἐξαπόλωλε καὶ παρῴχετο.

677. ΤΙ ΤΑΔΕ ΔΥΝΑΤΑ ΔΥΝΑΤΑ. Τί ὦ δυνάςα τάδε δίδυμα καὶ διπλᾶ ἁμάρτια καὶ ἁμαρτήματα διάγοιεν καὶ διάγυσι περὶ τῇ σῇ γῇ τῇδε; Δίδυμα δὲ, ἢ διὰ τὸ ἐπὶ Δαρείυ μὲν τριάκοντα φονευθῆναι χιλιάδας, νῦν δὲ ἐπὶ τῦ Ξέρξυ μυριάδας· ἢ, ὅτι Ξέρξυ καὶ Πέρσυ τινὸς εἰσὶν ἁμαρτίαι καὶ ἀτυχίαι ἡρμοσμέναι ὁμῦ· ἢ τὰ δίδυμα, τὰ ἐν Πλαταιαῖς γεγενημένα κακὰ καὶ τὰ ἐν Σαλαμῖνι. Τὸ δὲ δυνάτα, ἀντὶ τῦ δυνάςα.

679. ΑΜΑΡΤΙΑ. Ὁμῦ ἡρμοσμένα. Γράφεται καὶ ἁμαρτήματα.

682. ΝΑΕΣ ΑΝΑΕΣ. Αἱ μηκέτι νῆες· ἀπώλοντο γάρ.

Δ'.

683. Ω ΠΙΣΤΑ ΠΙΣΤΩΝ. Τὸ τῦ Δαρείυ εἴδωλον ἐξ ᾅδυ ἀνελθὸν φησὶ πρὸς τὺς Πέρσας, ὦ πιςὰ γεννήματα καὶ ἀνατροφαὶ πατέρων πιςῶν ἐμοὶ, ὦ

ἐκ πιςῶν πατέρων πιςοὶ υἱοὶ, ἥλικές τε καὶ ἰσήλικες τῆς ἐμῆς ἡλικίας, τίνα πόνον καὶ κακοπάθειαν πάσχει ἡ πόλις, καὶ ςενάζει, καὶ οἷον ἐκ τῶν ὀδυρμῶν κέκοπται καὶ χαράσσεται ἡ γῆ κάτωθεν. Τῦτο δὲ εἴρηκεν ὅτι ἐκ τῶν πολλῶν ὑμῶν ςεναγμῶν ἡ γῆ ῥαγεῖσα ἐνέδωκέ με.

686. ΛΕΥΣΣΩΝ Δ᾽ ΑΚΟΙΤΙΝ. Ἐγὼ δὲ βλέπων ἐγγὺς τῦ ἐμῦ τάφυ παρακαθημένην τὴν ἐμὴν ὁμόκοιτον γυναῖκα, φοβῦμαι μὴ κακὸν αὐτῇ ἐπιγέγονε. Τὰς χοὰς δὲ, ἤτοι τὰς θυσίας ἃς ἐμοὶ ἔθυσεν ἱλαςηρίυς, ἀπεδεξάμην.

688. ΥΜΕΙΣ ΔΕ ΘΡΗΝΕΙΤ᾽ ΕΓΓΥΣ. Ἐγγὺς ἑςῶτες τῦ ἐμῦ τάφυ, θρηνεῖτε καὶ καλεῖσθε καὶ ἀνακράζετέ με ἐξελθεῖν ἐκ τῦ ᾅδυ, ῥοθιάζοντες καὶ μεγάλως ἠχῦντες καὶ θρηνῦντες ἐν γόοις ψυχαγωγοῖς, ἤγυν τοῖς τὰς ψυχὰς ἐκ τῦ ᾅδυ ἀνακομίζυσιν· ὐκ ἔτι δὲ ῥάδιον τὸ ἐξελθεῖν με ἀπὸ τῦ τάφυ, ὐδὲ δυνατόν.

690. ΟΥΚ ΕΥΕΞΟΔΟΝ. Ὅθεν ὐ δυνατὸν ταχέως ἐξιέναι. Ἀπολογεῖται δὲ ὡς βραδύνας.

691. ΑΛΛΩΣ ΤΕ ΠΑΝΤΩΣ. Καὶ ἄλλως δὲ, φησὶν, οἱ κάτωθεν τῆς γῆς θεοὶ, οἷον ὁ Πλύτων καὶ ἡ Περσεφόνη καὶ οἱ τῶν νεκρῶν ἁπλῶς κυριεύοντες, ἀμείνυς καὶ βελτίονες καὶ ἑτοιμότεροι εἰσὶν εἰς τὸ λαβεῖν παρ᾽ ἑαυτοῖς τὺς ἀνθρώπυς, καὶ κατέχειν ἐν τῷ ᾅδῃ, παρὸ μεθιέναι, καὶ καταλεῖψαι, καὶ ἐᾶσαι αὐτὺς ἀνελθεῖν εἰς τὴν γῆν ἄνωθεν.

693. ΟΜΩΣ Δ᾽ ΕΚΕΙΝΟΙΣ. Ἤτοι, μέγα κἀγὼ δυνηθεὶς παρὰ τοῖς κάτω θεοῖς, οἷα βασιλεὺς, καὶ παρ᾽ ἐκείνων τιμώμενος, καὶ μὴ λογιζόμενος ὡς οἱ κοινῶς ἀποθνήσκοντες, ἥκω· ἐτάχυνα δὲ, ὡς μὴ μεμφθῶ τῦ χρόνυ καὶ τῆς βραδυτῆτος ἕνεκα.

695. ΝΕΟΧΜΟΝ. Νεωςί. Παρὰ τὸ αἰχμὴν γενόμενον

700. ΜΑΚΕΣΤΗΡΑ ΜΥΘΟΝ. Μῆκυς ἐχόμενον.

702. ΔΙΟΜΑΙ ΜΕΝ ΧΑΡΙΣΑΣΘΑΙ. Τῦτό φησι, δέδια μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἐφ᾽ ᾧ θέλξαι τὴν σὴν ψυχὴν, δέδια δὲ καὶ ἀληθεῦσαι· λυπηθήσῃ γάρ.

705. ΑΛΛ᾽ ΕΠΕΙ ΔΕΟΣ. Εἰπόντος τῦ χορῦ πρὸς τὸν Δαρεῖον ὅτι φοβῦμαι μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἵνα μὴ λυπηθῇς, φησὶ πρὸς αὐτὸν ὁ Δαρεῖος, ἀλλ᾽ ἐπεὶ φοβῇ, ἔασον τῦτο. Εἶτα ςρέφει τὸν λόγον πρὸς τὴν Ἄτοσσαν, καί φησιν, ὦ εὐγενὲς γύναι ξύννομε καὶ ξυμμερίςρια τῶν ἐμῶν λέκτρων, παυσαμένη τῶνδε τῶν θρήνων, φανερόν τι μοὶ εἰπὲ, ἵνα μάθω ὃ πάσχετε.

708. ΑΝΘΡΩΠΕΙΑ Δ᾽ ΑΝ ΤΟΙ. Ὁ Δαρεῖος παραμυθύμενος τῇ αὐτῦ γυναικὶ, φησὶν ὅτι πήματα τύχοι καὶ ἐπέλθοι οἷα πολλάκις ἐν τοῖς βροτοῖς. Ἢ ὕτως, ἀνθρώπινα καὶ ὐ καινὰ ἂν τοῖς βροτοῖς τύχοι καὶ ἐπέλθοι ἐν πήματι καὶ ἐν βλάβῃ. Ὡς γὰρ ἄνθρωποι, πάσχυσι, καὶ τὰ αὐτῶν πήματα, ὐ θεῖά τινα, ἀλλ᾽ ἀνθρώπινα κέκληνται.

709. ΠΟΛΛΑ ΜΕΝ ΓΑΡ ΕΚ ΘΑΛΑΣΣΗΣ. Πολλὰ μὲν γὰρ κακὰ ἐκ τῆς θαλάσσης καὶ τῆς γῆς τοῖς ἀνθρώποις ἐπέρχονται, ἢν ὁ μάσσων καὶ ὁ μείζων βίοτος ἐκταθῇ πρόσω, ἤγυν ἐν μακρῷ τῦ βίυ χρόνῳ.

716. ΩΣ ΕΙΠΕΙΝ ΕΠΟΣ. Ὡς ἐν συντόμῳ λόγῳ περιλαβεῖν καὶ εἰπεῖν συλλήβδην πάντα. Ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ,

Οὐκ ἔςιν ὐδὲν δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος.

717. ΛΟΙΜΟΥ ΤΙΣ ΗΛΘΕ. Ταραχὴ, ἐμφύλιος πόλεμος. Ἀντὶ τῆ φθορᾶ, εἶπε σκηπτόν· ὡς γὰρ ἐκεῖνος, εἴτινος ἐπιδράττεται, καίει καὶ φθείρει καὶ ἀφανίζει· ἕτω καὶ ὁ λοιμός.

719. ΤΙΣ Δ' ΕΜΩΝ ΕΚΕΙΣΕ ΠΑΙΔΩΝ. Ἡρόδοτος ζ' φησὶ Δαρείε παῖδας εἶναι, Ἑλλάνικος δὲ ια'.

720. ΗΠΕΙΡΟΥ ΠΛΑΚΑ. Τῆς γῆς τὸ ἅπλωμα. Περιφραςικῶς δὲ τὴν γῆν τῶν Περσῶν φησὶ πᾶσαν.

721. ΠΕΖΟΣ Η ΝΑΥΤΗΣ. Ἤτοι διὰ ξηρᾶς, ἢ διὰ θαλάσσης τήνδε τὴν πεῖραν ἐμώρανεν, ἀντὶ τῆ μωράν τινα καὶ ἀβέλως καὶ ἀπερισκέπτως ταύτην τὴν πεῖραν παρήγαγε. Τὴν πρὸς τὲς Ἀθηναίες δέ φησιν ἐκςρατείαν.

722. ΔΙΠΛΟΥΝ ΜΕΤΩΠΟΝ. Καὶ τάγμα δὲ ἦν διπλῆν, ἤτοι πεζὸν καὶ ναυτικὸν, καὶ διπλοῖ ςρατηγοὶ καὶ ἡγεμόνες καὶ βασιλεῖς ἦσαν, καὶ τὰ ἀμφότερα κατά τε γῆν καὶ θάλασσαν.

724. ΩΣΤ' ΕΧΕΙΝ ΠΟΡΟΝ. Ὥςε συνέχειν τὸν πόρον καὶ ἐπέχειν τὸ ὕδωρ.

726. ΓΝΩΜΗΣ ΔΕ ΠΟΥ. Ἀντὶ τῆ, ἴσως καὶ συνήργησεν αὐτῷ τις δαίμων, καὶ ἐβοήθησε. Βόσπορον δὲ λέγει τὸν Ἑλλήσποντον.

728. ΩΣ ΙΔΕΙΝ. Ὁποῖον καὶ εἰς τέλος παρήγαγε, δεινόν τινα τῷ ὄντι ὄλεθρον.

730. ΝΑΥΤΙΚΟΣ ΣΤΡΑΤΟΣ. Τῆτό φησιν, ὅτι ὁ τῶν Περσῶν ςρατὸς ναυτικὸς ἀφανισθεὶς ἐν τῇ θαλάσσῃ παρὰ τῶν Ἑλλήνων, γέγονεν ἀπωλείας καὶ φθορᾶς αἴτιος καὶ τῷ πεζῷ ςρατεύματι. Οἱ γὰρ Ἀθηναῖοι πρῶτον μὲν τὲς ἐν τῇ θαλάσσῃ ἐνίκων Πέρσας, εἶθ' ἕτως πρὸς τὲς πεζὲς ἐφορμήσαντες, τέτες ἀπέκτειναν. Τῶν ναυτικῶν γὰρ φθαρέντων οἱ ἐν τῇ Ψυτταλίᾳ Πέρσαι· ἥτις ἐςὶ νῆσος τῇ Σαλαμῖνι παρακειμένη· εὐάλωτοι γεγόνασιν.

733. ΚΑΙΠΙΚΟΥΡΙΑΣ ΣΤΡΑΤΟΥ. Τῆς ἀπολομένης.

734. ΒΑΚΤΡΙΩΝ Δ' ΕΡΡΕΙ. Τῶν Βακτρίων δὲ ἔῤῥει καὶ ἐφθάρη πᾶς δῆμος πανώλης καὶ ἀνδρεῖος καὶ πολεμικὸς, ἐδέ τις γέρων ἀπώλετο. Τῆτ' ἔςι, πάντες οἱ νέοι ἐφθάρησαν, οἱ δὲ γέροντες ἔ. Τὲς γὰρ νέες μόνες ὁ Ξέρξης ἐςρατολόγησε, τὲς δὲ γέροντας, ὡς ἀσθενεῖς ὄντας καὶ μὴ δυναμένες κινῆσαι ὅπλα, κατέλειψε τῇ Περσίδι χώρᾳ ἐπιτηρητάς τε καὶ φύλακας.

736. ΜΟΝΑΔΑ ΔΕ ΞΕΡΞΗΝ. Μεμονωμένον δέ φασι τὸν Ξέρξην ἀπομεῖναι, καὶ ἔρημον ἐ μετὰ πολλῶν ἀνδρῶν τὸν Ξέρξην διαπεράσαι τὸν Ἑλλήσποντον, τὴν ζευκτηρίαν δηλαδὴ τὴν ἐν δυοῖν μέρεσι κειμένην, καὶ συζευγνῦσαν αὐτά· λέγει δὲ τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην.

737. ΠΩΣ ΤΕ ΔΗ ΚΑΙ ΠΗ. Ἐν ἐρωτήσει. ΤΕΛΕΥΤΑΙΝ ΕΣΤΙ. Διαπράττεσθαι.

738. ΓΕΦΥΡΑΝ ΕΝ ΔΥΟΙΝ ΖΕΥΚΤΗΡΙΑΝ. Τὸν Ἑλλήσποντον, ὃς ζεύγνυσιν Ἀσίαν καὶ Εὐρώπην.

740. ΟΥΚ ΕΝΙ ΣΤΑΣΙΣ. Ἀμφιβολία. Τῆτο ἐκ ἄδηλον.

741. ΦΕΥ ΤΑΧΕΙΑ. Ὡς τῆ Δαρείε εἰπόντος καὶ οἷον προμαντευσαμένε τὸν Ξέρξην ἀποβαλεῖν πολὺν λαόν.

744. ΑΛΛ' ΟΤΑΝ. Ὅταν σπεύδῃ τὶς ἢ εἰς καλὰ ἢ εἰς κακὰ, ὁ θεὸς

αὐτοῦ ἐπιλαμβάνεται· ἢ, ὅταν ἐπὶ τὰ χείρω ἐπείγηται, τότε συνεφάπτεται καὶ συνάπτεται αὐτῷ καὶ ἡ Ἐριννὺς, ἡ τιμωρητικὴ καὶ ἡ ἔφορος τῶν κακῶν θεός.

745. ΝΥΝ ΚΑΚΩΝ. Ἔοικεν εὑρεθῆναι τοῖς φίλοις ἅπασιν ἐμοῦ ἡ τῶν κακῶν πηγή. Ἄλλως· ὡς ἡ πηγὴ τὸ μὲν δίδωσιν, ἄλλο δ' ἀναβλύζει.

747. ΟΣΤΙΣ ΕΛΛΗΣΠΟΝΤΟΝ. Ὅστις ὁ Ξέρξης ἤλπισε σχήσειν καὶ κρατήσειν ὡς δοῦλον καὶ ἐν δεσμοῖς τὸν ἱερὸν Ἑλλήσποντον. Ἱερὸν δὲ τοῦτόν φησι, διὰ τὸ ἱδρύσθαι αὐτόθι Διὸς ἱερὸν, ὡς Μνασέας φησίν. Ἢ τὸν ἀνειμένον, ἀκωλύτως ὡς τὸν ἱερὸν ἰχθὺν φέρεσθαι.

749. ΚΑΙ ΠΟΡΟΝ ΜΕΤΕΡΡΥΘΜΙΖΕ. Καὶ τὸν τῆς θαλάσσης πόρον μετέπλαττε καὶ εἰς ξηρὰν μετέβαλλε, καὶ τὸν Ἑλλήσποντον δεσμοῖς σιδηροῖς περιβαλὼν, ἤτοι γέφυραν ἐν αὐτῷ διὰ σιδήρου ἐργασάμενος, πολλὴν καὶ μακρὰν κέλευθον καὶ ὁδὸν ἐπλήρωσε καὶ ἐποίησε τῷ στρατεύματι, ἄνθρωπος ὤν· ᾤετο δὲ καὶ ὑπελάμβανε καὶ ἐνόμιζεν οὐκ ἐν εὐβουλίᾳ, ἀλλ' ἀβούλως καὶ μωρῶς, κρατήσειν πάντων τῶν θεῶν, καὶ τοῦ Ποσειδῶνος αὐτοῦ, ὃς κύριος τῆς θαλάσσης ἐστί.

753. ΔΕΔΟΙΚΑ ΜΗ ΠΟΛΥΣ. Φοβοῦμαι, φησὶ, μὴ ὁ πολὺς πλοῦτος ὁ ἀπὸ τοῦ ἐμοῦ πόνου κατορθωθεὶς, ἁρπαγῇ ὑπὸ τοῦ φθάσαντος, ἤτοι καταλαβόντος.

755. ΤΑΥΤΑ ΤΟΙΣ ΚΑΚΟΙΣ ΟΜΙΛΩΝ. Ταῦτα διδάσκεται ὁ θούριος καὶ ὁ ὁρμητικὸς πρὸς τὸν πόλεμον Ξέρξης, ὁμιλῶν τοῖς κακοῖς ἀνδράσι. Λέγουσι γὰρ αὐτῷ· ὁ γὰρ δὲ σύνδεσμος, ἀντὶ τοῦ γὰρ, ἢ περισσὸς ὁ δέ· ὅτι σὺ μὲν ὄλβον ἐκτήσω μέγαν τέκνοις, καὶ ἐν ἀνδραγαθίαις· τοῦτον δὲ ὑπ' ἀνανδρίαις ἔνδον τῆς οἰκίας κινεῖν τὸ δόρυ, τὸν ὄλβον δὲ τὸν πατρικὸν μὴ αὐξάνειν.

761. ΤΟΙΓΑΡ ΣΦΙΝ. Τοιγαροῦν σφὶν καὶ αὐτοῖς τοῖς τῷ Ξέρξῃ συμβουλεύσασι ταῦτα καὶ προτρέψασιν, ἔργον ἐστὶν ἐξειργασμένον, εἰς φθορὰν χωρῆσαν.

763. ΕΞΕΚΕΙΝΩΣΕΝ ΠΕΣΟΝ. Ἔργον οἷον οὐδέπω, πεσὸν δίκην κύβου· τὰ πράγματα γὰρ κατὰ κύβον πίπτουσιν· ἐξεκένωσε τόδε τὸ ἄστυ. Ἔργον δὲ, οἷον οὐδέπω γέγονεν ἐξ οὗτε καὶ ἀφ' οὗ καιροῦ ὁ Ζεὺς ὤπασε καὶ παρέσχε καὶ ἔδωκε ταύτην τὴν τιμὴν, τοῦτ' ἔστι τὸ ταγεῖν καὶ ἡγεμονεύειν καὶ βασιλεύειν ἕνα ἄνδρα πάσης Ἀσίας.

768. ΑΛΛΟΣ Δ' ΕΚΕΙΝΟΥ ΠΑΙΣ. Τὸν Ἀρταφρένην φησὶ, περὶ οὗ παρακατιὼν λέγει, φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν, ἐτυμολογῶν αὐτοῦ τὸ ὄνομα. Ἀρταφρένης γὰρ ἐξ ἐτυμολογίας λέγεται ὁ τὰς φρένας ἔχων ἀρτίας καὶ ἀκεραίας.

773. ΗΛΑΣΕΝ ΒΙΑι. Συνήγαγεν τῇ ἰδίᾳ δυνάμει.

775. ΚΥΡΟΥ ΔΕ ΠΑΙΣ. Κύρου δὲ υἱὸς ὁ Καμβύσης, ἀδελφὸς δὲ, κατὰ Ἑλλάνικον, Μαρφίου καὶ Μέμφιδος.

776. ΠΕΜΠΤΟΣ ΔΕ ΜΑΡΔΟΣ. Ἡ γραφὴ ἡμάρτηται. Τὸν γὰρ ἐπιθέμενον τῇ Καμβύσου ἀρχῇ μάγον ὄντα, οὐδεὶς Μάρδον εἶπεν, οὔτε γένος, οὔτε ὄνομα. Μήποτε οὖν γραπτέον, Μάρδις αἰσχύνη πάτρᾳ. Μάγος ἦν ὁ τῆς ἀρχῆς ἐπιλαβόμενος, ἢ ἴσως ὁμώνυμος ὑπεκρίνετο εἶναι Μερδίᾳ τῷ τοῦ Κύρου παιδὶ, ἀδελφῷ τε Καμβύσου. Αἰσχύνη δὲ πάτρᾳ, εἶπεν, ὅτι μάγος ὢν, ἐπέσπασε τὴν τῶν Περσῶν ἀρχὴν εἰς μάγους. Ἐπειδὴ γὰρ οἱ Πέρσαι πάντα τῇ βουλῇ διεπράττοντο, ὁ Καμβύσης ἤδη πρὸς ἐκστρατείαν ἀπαίρων, τοὺς αὐτοῦ μάγους δύο ὄντας ἐν τοῖς βασιλείοις κατέλιπεν,

οἳ τῇ ἐρημώσει τῶν τῆς πόλεως ἀνδρῶν, ἦρξαν τῆς βασιλείας, Ἀρταφρένης, καὶ Δαρεῖος, ὐχ ὁ τῦ Ξέρξυ πατὴρ, ἀλλ᾽ ἕτερος. Καὶ ἄλλοι τινες φίλοι αὐτῶν τῆς ἀρχῆς αὐτὺς καταβιβάσαι συνεβυλεύσαντο. Καταγαγόντες δὲ αὐτὺς, ἔριζον περὶ τῆς βασιλείας. Οἱ μὲν οὖν ἄλλοι ταύτην λαβεῖν ἀπείπαντο, φήσαντες ἐλευθέρυς ἑαυτὺς εἶναι βυλεύεσθαι, καὶ μήτε ἄρχειν μήτ᾽ ἄρχεσθαι, καὶ ἀπολαύειν τῶν τῆς ἀρχῆς δεινῶν. Ἀρταφρένης δὲ καὶ Δαρεῖος ἆθλον ἔθεντο, τὸ μεθ᾽ ἵππων δραμεῖν, ὕτινος δ᾽ ἵππος πρὸς τὴν νύσσαν ἐλθὼν χρεμετίσειε, πάντως αὐτὸς καὶ τῆς ἀρχῆς ἐπιλάβηται. Ὁ οὖν Δαρεῖος τῷ ἱπποκόμῳ αὐτῦ περὶ τύτυ ἀνεκοινώσατο. Οὗτος δὲ χιτῶνα λαβὼν, καὶ τῷ τῆς θηλείας προςρίψας μορίῳ, δέδωκεν αὐτῷ, ἐπειπὼν, ἣν δ᾽ ἂν ὥραν ὁ ἵππος τῇ νύσσῃ προσεγγίσῃ, τηνικαῦτα ςήσας αὐτὸν, τῷ μυκτῆρι αὐτῦ τὸν χιτῶνα προσάγαγε, καὶ οὗτος τῆς ὀδμῆς τῆς θηλείας αἰσθανόμενος χρεμετίσει. Ὃ καὶ πεποίηκε, καὶ κατὰ κράτος νικήσας τῆς ἀρχῆς ἐπελάβετο. Τινὲς δὲ ὕτως φασὶ γενέσθαι, ὅτι κατὰ τὸν καιρὸν τῆς νυκτὸς ὁ ἱπποκόμος ἐν τῷ καμπτῷ φοράδα ςήσας, δῆγε τὸν ἵππον, καὶ συνυσιάζετο. Οὗτος δὲ καὶ κατὰ τὴν ἡμέραν ἐν τῷ καιρῷ τῦ ἄθλυ ἐκεῖσε γεγονὼς, τῆς θηλείας ἐμνήσθη, καὶ ὕτως ἐχρεμέτισε.

778. ΑΡΤΑΦΡΕΝΗΣ. Τῦτον Ἑλλάνικος Δαφέρνην καλεῖ.

781. ΚΑΙΓΩ Δ᾽ ΕΚΥΡΣΑ ΤΟΥΠΕΡ. Κακῶς τῦτο εἶπε. Μετὰ γὰρ τὴν τῶν μάγων καθαίρεσιν Δαρεῖος ὁ μέγας ἦρξεν, ὅτε οἱ ἑπτὰ ςρατηγοὶ τῦ Καμβύσυ ὤμοσαν ἀναιρεθῆναι τὸν μάγον τὸν ὑποκρινόμενον τῷ ὀνόματι Μάρδυ.

786. ΕΥ ΓΑΡ. Καλῶς γινώσετε τῦτο, ὦ ἐμοὶ συνήλικες Πέρσαι, ὅτι ἅπαντες ἡμεῖς οἱ κράτη τάγε ἔσχομεν, ἤγυν οἱ προτῦ βασιλεύσαντες, ὐκ ἂν ἐφάνημεν πράξαντες τοσαύτην βλάβην τῶν Περσῶν, ὅσην νῦν ὁ Ξέρξης ἐποίησε.

794. ΑΥΤΗ ΓΑΡ Η ΓΗ. Αὐτὴ γὰρ ἡ Ἑλλὰς ἡ Ἀτθὶς συμμαχεῖ ἐκείνοις τοῖς Ἕλλησι διὰ τὸ μὴ ἔχειν καρπὺς αὐτάρκεις, ὥςε τὺς ἐναντίυς ἀποτρέπεσθαι. Ἡ γῆ, φησὶ, κτείνυσα λιμῷ τὺς πολυΐππυς Πέρσας.

797. ΕΥΣΤΑΛΗ. Εὔμιτρον.

798. ΑΛΛ᾽ ΟΥΔ᾽ Ο ΜΕΙΝΑΣ. Ἀλλ᾽ ὐδ᾽ ὁ καταλειφθεὶς ςρατὸς τῷ Μαρδονίῳ καὶ αἱ τριάκοντα μυριάδες ὑποςρέψυσιν εἰς τὴν πατρίδα, καὶ πῶς λέγυσιν ἀποςεῖλαι πάλιν ἕτερον ςρατόν; Τῦτο δὲ εἶπε, τὴν παντελῆ σημαίνων ἀπώλειαν τῶν Περσῶν. Ὁ γὰρ Μάρδων ἐπεδέξατο λ᾽ μυριάδας τὸ ἔκκριτον μέρος τῦ ςρατῦ ἃς ἐπ᾽ ἐλπίσι κεναῖς ὁ Ξέρξης κατέλειψεν.

803. ΧΡΗ ΘΕΣΦΑΤΟΙΣΙΝ ΕΣ ΤΑ ΝΥΝ ΠΕΠΡΑΓΜΕΝΑ ΒΛΕΨΑΝΤΑ. Ἀφ᾽ ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεσθαι ςοχάζομαι.

804. ΣΥΜΒΑΙΝΕΙ ΓΑΡ ΟΥ ΤΑ ΜΕΝ, ΤΑ Δ᾽ ΟΥ. Οὐ γὰρ τὰ μὲν τοῖς ἀνθρώποις συμβαίνει, τὰ δ᾽ ὔ· ἀλλὰ πάντα ὅσα βροτοῖς παθεῖν πέπρωται, ἐπισυμβαίνει αὐτοῖς. Ἄλλως· ὐ γὰρ τὰ μὲν συμβαίνει ἀφ᾽ ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεται. Οὐχὶ τινὰ μὲν συμβαίνει ἐκ θελήματος τῶν θεῶν, τὰ δὲ, ὔ· ἀλλ᾽ ὅσα ὑπὸ θεῶν διϊθύνονται βυλεύματα τῶν ἀνθρώπων, τελειῦται, ὅσα δὲ ὔ, ὐ τελειῦται. Τῦτο δὲ εἶπε διὰ τὺς χρησμὺς τὺς κειμένυς μὴ ἀπελθεῖν εἰς Ἑλλάδα.

805. Κ᾽ ΕΙΠΕΡ ΤΑΔ᾽ ΕΣΤΙ, ΠΛΗΘΟΣ ΕΚΚΡΙΤΟΝ. Καὶ ἐὰν περ

τάδε τὰ πεπραγμένα ἀληθῆ τυγχάνωσιν, λείπει καὶ τὸ ἔκκριτον πλῆθος τȣ̃ Βαρβάρȣ ϛρατȣ̃. Ἀντὶ τȣ̃, οἴχεται καὶ θνήσκει. Εἶτα ἐξ ȣ̓δετέρȣ πρὸς ἀρσενικὸν τὸν λόγον ἔτρεψεν, εἰπὼν, πεπεισμένος οὗτος ὁ ϛρατὸς ἐν κεναῖς ἐλπίσι. Πέπρωται γὰρ αὐτὸν ἐκεῖ θανεῖν. Ἢ, λείπει καὶ ἀφίησιν ὁ Ξέρξης ἐν Ψυτταλίᾳ τὸ τȣ̃ ϛρατȣ̃ ἔκκριτον πλῆθος, πεπεισμένος ματαίαις ἐλπίσι.

807. ΜΙΜΝΟΥΣΙ Δ' ΕΝΘΑ. Ὁ φίλος Ἀσωπὸς τὸ πίασμα τῇ Βοιωτῶν χθονὶ καὶ τῇ γῇ, ἤγȣν τὸ λίπασμα τὸ πιαῖνον καὶ τρέφον αὐτὴν, ἄρδει τὸ πεδίον καὶ τὴν γῆν. Ἀντὶ τȣ̃, ἔνθα ὁ Ἀσωπὸς λιπαίνει τὴν Βοιωτίαν.

809. ΟΥ ΣΦΙΝ ΚΑΚΩΝ ΥΨΙΣΤΑ. Τὴν ἐν Πλαταιαῖς πεζομαχίαν φησὶν, ἣν πρὸς Λάκωνας ἡσσήθησαν.

810. ΥΒΡΕΩΣ ΑΠΟΙΝΑ. Ἐνεπίπρασαν γὰρ τὰ ἱερά.

816. Κ' ΟΥΔΕΠΩ ΚΑΚΩΝ. Ἡ τῶν κακῶν οὖν κρηπὶς καὶ ὑποβάθρα καὶ θεμέλιος καὶ ὁ ἑσμὸς ȣ̓δέπω ὑπέϛη καὶ εἰς τέλος κατήντησεν, ἀλλ' ἔτι ἐκπαιδεύεται καὶ αὔξεται τὰ δεινά.

819. ΔΩΡΙΔΟΣ. Λακωνικῆς.

820. ΘΙΝΕΣ ΔΕ ΝΕΚΡΩΝ. Οἱ θῖνες δὲ καὶ οἱ σωροὶ τῶν νεκρῶν καίπερ φωνὴν μὴ ἀφιέντες, δείξȣσι καὶ τῇ τρίτῃ τῶν μεταγενεϛέρων γενεᾷ τὰ τῶν Περσῶν πτώματα. Τȣ̃τ' ἔϛιν, ὅτι καὶ τρεῖς γενεαὶ παρέλθωσιν ἂν, τὰ δὲ τῶν νεκρῶν καὶ ἔτι παραμενȣ̃σι πτώματα. Διὰ τὸ ἄπειρα εἶναι, μὴ ἰσχύσαντος τȣ̃ χρόνȣ ἀφανίσαι αὐτά.

822. ΩΣ ΟΥΧ ΥΠΕΡΦΕΥ. Σοβαρῶς ȣ̓ χρὴ φρονεῖν ἄνθρωπον ὄντα τινά. Ἡ γὰρ κενοδοξία καὶ ἡ τῶν θεῶν καταφρόνησις ἐξανθȣ̃σα γεννᾷ ϛάχυν βλάβης, ὅθεν θρήνȣ ἄξιον θέρος θερίζει ὁ τὴν τῶν θεῶν ἐνδεικνύμενος ὕβριν καὶ καταφρόνησιν.

826. ΕΛΛΑΔΟΣ ΤΕ. Μηδέ τις ὑπερφρονήσας καὶ παραβλεψάμενος τὴν προσȣ̃σαν αὐτῷ εὐτυχίαν, ὡς μείζονος ἐρασθεὶς δόξης, ἐκχέῃ καὶ φθείρῃ ὃν τὸ πρὶν εἶχεν ὄλβον μέγιϛον.

830. ΕΥΘΥΝΟΣ. Δικαϛής.

831. ΠΡΟΣ ΤΑΥΤ' ΕΚΕΙΝΟΝ. Πρὸς ταῦτα ὑμεῖς οἱ κεχρημένοι τῇ σωφροσύνῃ, ἢ οἱ χρήζοντες καὶ θέλοντες σωφρονεῖν, πινύσκετε καὶ συνετίζετε καὶ σωφρονίζετε ἐκεῖνον τὸν Ξέρξην ἐν συνετοῖς νȣθετήμασιν, ὥϛε λῆξαι καὶ παύσασθαι θεοβλαβȣ̃ντα, καὶ τὴν ἐκ τῶν θεῶν βλάβην πάσχοντα διὰ τῆς κενοδοξίας. Ἢ κεχρημένον, ἀντὶ τȣ̃, χρείαν ἔχοντα καὶ ἄξιον ὄντα σωφρονεῖν.

836. ΠΑΝΤΑ ΓΑΡ. Ὑπὸ γὰρ τȣ̃ ἄλγȣς τῶν ἐπελθόντων τῷ Ξέρξῃ κακῶν, πάντα τὰ μέρη τῶν ποικίλων ἐσθημάτων αὐτȣ̃ ϛημοῤῥαγȣ̃σι, καὶ μετὰ τῶν ϛημόνων αὐτῶν διαῤῥέȣσιν ἐν τῷ σώματι αἱ λακίδες καὶ διασχίσεις. Τȣ̃τ' ἔϛιν, ὑπὸ τῆς θλίψεως διέῤῥηξε τὰ ἱμάτια αὐτȣ̃ ὁ Ξέρξης.

842. ΥΜΕΙΣ ΔΕ ΠΡΕΣΒΕΙΣ. Πρὸς τὸν χορὸν φησὶν ὁ Δαρεῖος, ὅτι ἐγὼ μὲν ἄπειμι κάτω εἰς τὸν ᾅδην· ὑμεῖς δὲ ὦ γεραιοὶ χαίρετε, ἐν κακοῖς μὲν ὄντες, ὅμως δὲ χαίρετε, ψυχῇ διδόντες ἡδονήν. Ἤγȣν θύοντες ἐμοὶ, τὴν ἐμὴν ψυχὴν ἡδύνοντες διὰ τῶν θυσιῶν. Τοῖς γὰρ θανȣ̃σι θυσία μόνη ἐϛὶ προσδεκτέα, πλȣ̃τος δὲ ȣ̓δὲν ὠφελεῖ.

845. Η ΠΟΛΛΑ. Ὁ χορὸς ἀκέσας ἀπὸ τȣ̃ Δαρείȣ ἃ μέλλȣσι καὶ ἔτι παθεῖν οἱ Πέρσαι κακὰ, φησὶν, ὄντως ἤλγησα καὶ ἀκέσας τοῖς Πέρσαις πολλὰ πήματα, καὶ παρόντα, ἤτοι ἃ νῦν πάσχȣσι· καὶ μέλλοντ' ἔτι, καὶ ἃ μέλλȣσιν ἔτι αὐτοῖς ἐπελθεῖν.

854. ΟΥ ΓΑΡ ΤΑ ΦΙΛ. Οὐ γὰρ τȣ̀ς ἐμοὶ φιλτάτȣς ἐν ταῖς αὐτῶν ἀνάγκαις προδώσω καὶ παραβλέψομαι.

855. Ω ΠΟΠΟΙ. Θαυμαστικῶς σύγκρισιν ποιεῖται τῶν ἐπὶ Δαρείȣ εὐτυχημάτων, πρὸς τὰ νῦν κακά. Καί φησιν, ὄντως μεγάλης βιοτῆς, ἀγαθῆς τε πολισσονόμȣ, καὶ πόλιν καλῶς νεμȣ́σης καὶ διευθετȣ́σης, ἐτύχομεν ἐπὶ τȣ̃ Δαρείȣ.

856. ΕΥΘ' Ο ΓΕΡΑΙΟΣ. Εὖτε καὶ ὁπηνίκα ἦρχε καὶ ἐβασίλευε τῆς ἡμετέρας χώρας ὁ Δαρεῖος, ἄμαχος βασιλεὺς, ὁ ἰσόθεος, ὁ πανταρκὴς καὶ εἰς πάντας ἀρκῶν, καὶ διευεργετῶν καὶ διέπων καλῶς, καὶ παντάπασι δίκαιος γενόμενος.

860. ΠΡΩΤΑ ΜΕΝ ΕΥΔΟΚΙΜΟΥ. Πρῶτα μὲν ἀπεφαινόμεθα στρατιᾶς εὐδοκίμȣ, ἤτοι περιβοήτȣ καὶ τροπαιοφορȣ́σης. Τȣ̃τ' ἔστι, διὰ στρατιᾶς κατὰ πόλεμον εὐδοκιμȣ̃μεν, καὶ ἐπεύθυνον, ἤγȣν κατὰ τὸ εὐθὺ ἐξήγοντο καὶ ἐπλατύνοντο, πάντα τὰ νόμιμα τῶν πυργȣμένων καὶ τετειχισμένων πόλεων· καὶ ὡρμῶμεν κατὰ τὰ νενομισμένα ἔθη ταῖς πόλεσι ταῖς πορθȣμέναις, ȣ̓ τεμένη πορθȣ̃ντες καὶ τάφȣς ἀνασπῶντες, ὡς Ξέρξης ἐτόλμησε ποιῆσαι. Λέγεται δὲ καὶ πύργινα νόμιμα, τὰ πυργȣ̃ντα καὶ συνιστῶντα τὰς πόλεις. Ἄλλως· νόμιμα, τὰ νόμιμα πάντα τῶν τετειχισμένων πόλεων. Οἱ δὲ δημωφελεῖς δῆμοι πάντα ἐπολιτεύοντο.

866. ΟΣΑΣ Δ' ΕΙΛΕ ΠΟΛΕΙΣ. Τȣ̃το θαυμαστικῶς φησιν, ὅτι ἀρετῇ Ἕλληνας ὑπέταξε Δαρεῖος, ἀλλ' ȣ̓κ ἀνάγκῃ.

869. ΟΥΔ' ΑΦ' ΕΣΤΙΑΣ ΣΥΘΕΙΣ. Σκληροτέρα ἡ συναλοιφὴ, ποταμοῦδ' ἀφ' ἑστίας, οἷόν ἐστι τὸ, τȣ̃ ἕνεκα τοὔνεκα.

870. ΟΙΑΙ ΣΤΡΥΜΟΝΙΟΥ ΠΕΛΑΓΟΥΣ. Οἷαί εἰσιν αἱ Ἀχελωΐδες νῆσοι τȣ̃ Στρυμονίȣ πελάγȣς, αἱ πάροικοι τῶν Θρηϊκίων ἐπαύλεων. Ἤγȣν τῆς Θρᾴκης. Ἄλλως· Στρυμονίȣ πελάγȣς. Ὡς μέχρι Ὑπερβορέων παρατεινȣ́σης τῆς ἀρχῆς Περσῶν.

871. ΑΧΕΛΩΙΔΕΣ. Αἱ δίυγροι. Ἀχελῷον γὰρ πᾶν ὕδωρ λέγȣσι.

872. ΕΠΑΥΛΩΝ. Ἐπαυλισμάτων.

873. ΛΙΜΝΑΣ Τ' ΕΚΤΟΘΕΝ. Καὶ ἔξω τῆς θαλάσσης, ὅσαι εἰσὶ μεσήπειροι.

874. ΑΙ ΚΑΤΑ ΧΕΡΣΟΝ ΕΛΗΛΑΜΕΝΑΙ. Τοῖς τείχεσι κεκυκλωμέναι.

876. ΤΟΥ Δ' ΑΝΑΚΤΟΣ ΑΙΟΝ. Τῷ Δαρείῳ ὑπήκȣον.

877. ΑΜΦΙ ΠΟΡΟΝ ΠΛΑΤΥΝ. Ἐπὶ πλατεῖ Ἑλλησπόντῳ.

879. ΜΥΧΙΑ ΠΡΟΠΟΝΤΙΣ. Ἀπὸ κοινȣ̃ τὸ, οἷαί εἰσιν αἱ περὶ τὸν Ἑλλήσποντον τὴν οἴκησιν ἔχȣσαι, ἡ Προποντίς τε, ἤτοι τȣ̃ Εὐξείνȣ πελάγȣς, ἡ μυχία καὶ ἐν μυχοῖς τȣ̃ Ἑλλησπόντȣ κειμένη· καὶ τὸ στόμα τȣ̃ πόντȣ, ἤγȣν ὁ Βόσπορος· οὗτος γὰρ στόμα πόντȣ λέγεται.

881. ΝΑΣΟΙ Θ' ΑΙ. Νῆσοί τε, ἀπὸ κοινȣ̃ τὸ, οἷαί εἰσιν, αἵτινες περίκλυστοι

καὶ ὑπὸ τῆς θαλάσσης κλυζόμεναι κατὰ τὸν Ἑλλήσποντον· τῦτον γὰρ πρῶνα ἅλιον λέγει· ὑποτασσόμεναι καὶ προσκαθήμεναι τῇ ἡμετέρᾳ γῇ.

884. ΟΙΑ ΛΕΣΒΟΣ. Μεταβέβηκεν εἰς τὸ Αἰγαῖον πέλαγος. Ἡ γὰρ Λέσβος καὶ ἡ Σάμος ἐν τῷ Αἰγαίῳ εἰσίν.

888. ΤΗΝΩι ΤΕ. Καὶ ἡ Ἄνδρος νῆσος ἡ συνάπτυσα τῇ νήσῳ Τήνῳ καὶ συνημμένη αὐτῇ καὶ ἀγχιγείτων ταύτης τυγχάνυσα.

890. ΚΑΙ ΤΑΣ ΑΓΧΙΑΛΟΥΣ ΜΕΣΑΓΚΤΟΥΣ. Τὰς ἄγχι τῆς θαλάσσης κειμένας καὶ πρὸς τὸν αἰγιαλόν. Μεσάγκτυς δὲ, μεσακτίυς.

891. ΕΚΡΑΤΥΝΕ. Ὑπὸ τὸ ἴδιον κράτος εἶχε.

892. ΛΗΜΝΟΝ. Λῆμνος Θρᾴκης ἐςί. Αὗται δέ εἰσιν αἱ μεσάκτιοι. ΙΚΑΡΟΥ Θ᾽ ΕΛΟΣ. Ἰκάρυ τὸν κλύδωνα.

896. ΣΑΛΑΜΙΝΑ ΤΕ. Σαλαμῖνα τὴν ἐν Κύπρῳ φησίν· ἧς ἡ μητρόπολις, ἡ ἐν τῇ Ἀττικῇ δηλαδὴ, ἡμῖν αἰτία ἐςὶ τῶνδε τῶν ςεναγμάτων. Ἄποικοι γάρ εἰσιν οἱ ἐν Κύπρῳ Σαλαμίνιοι τῶν ἐν Ἀττικῇ. Φασὶ γὰρ ὅτι τῦ Αἴαντος αὐτόχειρος γεγονότος, ὁ Τεῦκρος ὁ αὐτῦ ἀδελφὸς ἐν τῇ Σαλαμῖνι τῇ αὐτῦ πατρίδι ἀπελθὼν, ὐκ ἐδέχθη τῷ πατρὶ αὐτῶν Τελαμῶνι, ἀλλ᾽ ἐδιώχθη ἀπὸ τῆς Σαλαμῖνος, ὡς μὴ τὸν ἀδελφὸν αὐτῦ Αἴαντα κωλύσας, σφαγισθησόμενον ὑφ᾽ αὐτῦ. Κατελθὼν οὖν, ἐν τῇ Κύπρῳ ἀνεδείματο πόλιν, καὶ ταύτην καλέσας Σαλαμῖνα ἐπ᾽ ὀνόματι τῆς ἐν Ἀττικῇ.

900. ΚΑΤΑ ΚΛΗΡΟΝ ΙΟΝΙΟΝ ΠΟΛΥΑΝΔΡΟΥΣ. Ἰονίδας πόλεις.

902. ΣΦΕΤΕΡΑΙΣ ΦΡΕΣΙΝ. Τῷ ἰδίῳ λογισμῷ, οἷον φρόνιμος ὤν.

905. ΝΥΝ Δ᾽ ΟΥΚ ΑΜΦΙΛΟΓΩΣ. Νῦν ὐκ ἀμφιβάλλεται ἀλλ᾽ ἀληθῶς ταῦτα φέρομεν ἐν τοῖς πολέμοις, δηλαδὴ τὰς ἐπελθύσας ἡμῖν συμφορὰς, τὰς ἐκ θεῦ τραπείσας πρὸς ἡμᾶς. Ἢ θεόθρεπτα, τὰ ἐκ θεῶν τρεφόμενα καὶ αὐξανόμενα δι᾽ ἡμᾶς. Ἢ ὑπὸ θεῶν ἐνεχθέντα, καὶ θεοῖς δόξαντα.

909. ΔΜΑΘΕΝΤΕΣ. Δίων, ἅμα θέντες.

910. ΠΛΑΓΑΙΣΙ ΠΟΝΤΙΑΙΣΙΝ. Ταῖς ναυμαχίαις.

Ε΄.

911. ΙΩ ΔΥΣΤΗΝΟΣ ΕΓΩ. Ὁ Ξέρξης ὑπομιμνησκόμενος τῶν ὅλων Περσῶν ὀλωλότων, αἰσχύνῃ καὶ ἐλέῳ πιεζόμενος θρηνεῖ, λέγων, φεῦ τῆς ςυγερᾶς καὶ μισητῆς ταύτης μοίρας κυρήσας καὶ ἐπιτυχὼν, κακοτελευτήτυ καὶ εἰς κακὰ καταντησάσης.

918. ΕΙΘ᾽ ΩΦΕΛΕ ΖΕΥΣ. Ὑπομνησθεὶς δὲ ὁ Ξέρξης τῶν νέων ἀνδρῶν τῶν οἰχομένων ἐν Ἑλλάδι, φησὶ ταῦτα, εἴθε ὤφειλεν ὁ Ζεὺς κἀμὲ μετὰ τῶν φθαρέντων ἀνδρῶν καλύψαι τῇ μοίρᾳ τῦ θανάτυ.

921. ΟΤΟΤΟΤΟΙ ΒΑΣΙΛΕΥ. Καὶ ὁ χορὸς ἰδὼν τὸν Ξέρξην ὀδυρόμενον, φησὶ πρὸς αὐτὸν, φεῦ ὦ βασιλεῦ τῆς ἀγαθῆς δεξιᾶς, καὶ τῆς μεγάλης τιμῆς τῆς τοῖς Πέρσαις νεμηθείσης καὶ τὰ Περσῶν διοικύσης καὶ διεπύσης καὶ διευθετύσης ἅπαντα· τῦ κόσμυ τε τῶν ἀνδρῶν, ἤτοι τῆς παρατάξεως τῆς ςρατηγίας καὶ τῆς κατὰ λόγον κοσμήσεως καὶ εὐταξίας τῶν Περσῶν, ὓς νῦν ὁ δαίμων καὶ ἡ τύχη ἠφάνισεν. Ἢ τῦ κόσμυ, ἀντὶ τῦ τῆς νεότητος, περιφραςικῶς, τῶν νέων ἀνδρῶν καὶ γενναίων.

925. ΓΑ Δ' ΑΙΑΖΕΙ ΤΑΝ ΕΓΓΑΙΑΝ. Ἡ γῆ δὲ αἰάζει καὶ θρηνεῖ τὴν ἥϐην καὶ τὴν ἡλικίαν τῶν Περσῶν τὴν ἐγγαίαν καὶ τὴν ἐγχώριον. Ἢ ὕτως, ἡ γῆ ἡμῶν τὴν ἔξω τῆς γῆς ἥϐην σεσαγμένην ὑπὸ τȣ ᾅδȣ καὶ διὰ τὸν Ξέρξην κταμένην αἰάζει. Ἢ τὴν ὑποκτανθεῖσαν ἐν τῷ Ξέρξῃ, τῷ σάκτορι καὶ τῷ πληρωτῇ τȣ ᾅδȣ. Παρὰ τὸ σάζω τὸ ἐπιφορτίζω, καὶ γεμίζω. Δι' αὐτὸν γὰρ ἀπέθανον οἱ Πέρσαι, καὶ αὐτὸς αἴτιος γέγονεν τȣ θανεῖν αὐτȣς καὶ ὑπὸ τὴν ᾅδην γενέσθαι.

926. ΗΒΑΝ. Τὸ ἑξῆς, ἥϐαν Περσῶν.

929. ΠΑΝΥ ΓΑΡ ΦΥΣΤΙΣ. Φύςις ἡ πεφυρμένη καὶ ἐπὶ γῆς πεσȣσα. Λέγεται καὶ φύςις, ἡ ἔκφυσις, γονή. Τȣτο δὲ διὰ μέσȣ· Ἀγδαϐάται γὰρ, ὅ ἐςιν ἔθνος Περσῶν, ἐξέφθινται καὶ ἐφθάρησαν, πολλοὶ φῶτες, ἄνθος καὶ καλλώπισμα τῆς χώρας, τοξοδόμαντες, καὶ τοῖς τόξοις τȣς ἐναντίȣς δαμάζοντες, πάνυ φῦςις, καὶ ἔκφυςις, καὶ γονὴ μυριὰς ἀνδρῶν. Ἤτοι πολὺ γένος τῶν Περσῶν. Τὸ δὲ γὰρ παρέλκον.

932. ΑΣΙΑ ΔΕ ΧΘΩΝ. Καὶ γῆ ὦ βασιλεῦ, ἤτοι οἱ Πέρσαι πάντες ἐπὶ γόνυ κέκλινται, ἀντὶ τȣ ἐπέκυψαν καὶ ἐφθάρησαν. Ἢ ἐπὶ γόνυ Ἀσίας γῆ πέπτωκεν, ὀλοφυρομένη ȣς ἀπώλεσε. Λέγει δὲ τȣς πολίτας. Τινὲς δέ φασιν ἐπὶ γόνυ αἴας, ἤτοι κατὰ πρόσωπον τῆς γῆς.

935. ΑΙΑΚΤΟΣ ΜΕΛΕΟΣ ΓΕΝΝΑι. Θρηνητὸς τῇ γέννῃ, ἀντὶ τȣ δυςυχῶς γεννηθείς.

938. ΠΡΟΣΦΘΟΓΓΟΝ. Προσφώνησίν σοι τȣ νόςȣ πέμψω, τὴν κακοφάτιδα βοήν.

941. ΜΑΡΙΑΝΔΥΝΟΥ ΘΡΗΝΗΤΗΡΟΣ. Μαριανδυνοὶ αὐλοὶ, ἐπιτηδείως ἔχοντες πρὸς θρήνȣς. Καλλίςρατος ἐν δευτέρῳ περὶ Ἡρακλείας, Τιτυȣ παῖδας εἶναί φησι δύο, Πριόλαν καὶ Μαριανδυνὸν, ὃν κυνηγετȣντα ἀπολέσθαι, καὶ μέχρι τȣ νῦν Μαριανδυνȣς ἐν ἀκμῇ θέρȣς θρηνεῖν αὐτόν. Τὸν δὲ Μαριανδυνὸν αὐξῆσαι μάλιςα τὴν θρηνητικὴν αὐλῳδίαν, καὶ διδάξαι ταύτην Ὕαγνιν τὸν Μαρσύȣ πατέρα. Καὶ αὐλοὶ γάρ εἰσι Μαριανδυνοὶ ἐπιτηδειότατοι εἰς τὰς θρηνῳδίας. Ὅθεν καὶ τὸ περιφερόμενον, αὐλεῖ Μαριανδυνοῖς καλάμοις κρȣων Ἴαςι.

949. ΗΣΩ. Πέμψω θρῆνον καὶ λίαν πανόδυρτον, σεϐίζων καὶ σεϐάζων τὰ λαοπαθῆ, καὶ τὰ τῶν λαῶν πάθη τῆς γέννας καὶ ἀνατροφῆς, δηλαδὴ τῆς πόλεως τῆς πενθητῆρος καὶ τῆς ἀξίας πένθȣς· τὰ βάρη, καὶ τὰ δυςυχήματα τὰ ἀλίτυπα, τὰ τῇ θαλάσσῃ τυφθέντα. Λέγει δὲ τὰ σώματα τῶν Περσῶν.

954. ΙΩΝΩΝ ΓΑΡ ΑΠΗΥΡΑ. Ὁ Ἄρης· καὶ γὰρ τῶν Ἰώνων ὁ ναύφρακτος ὁ ἑτεραλκὴς, ὁ ἑτέροις ἀλκὴν καὶ βοήθειαν δȣς, ἀπηύρα καὶ ἀφείλατο τὴν ἰσχὺν τῶν Περσῶν, κερσάμενος καὶ κατακόψας αὐτȣς εἰς πλάκα νυχίαν, ἤτοι νύκτα καὶ θάνατον γεγονυῖαν αὐτοῖς, εἰς δυσδαίμονά τε ἀκτὴν, ἤγȣν τὴν Σαλαμῖνα. Ἄλλως· ὁ Ἀττικὸς ςόλος ἀφείλετο τὴν Περσῶν σωτηρίαν.

956. ΑΡΗΣ ΕΤΕΡΑΛΚΗΣ. Τȣτ' ἔςι νικηφόρος.

967. ΟΛΟΟΥΣ ΑΠΕΛΙΠΟΝ. Ὀλοȣς καὶ ὀλεθρίȣς ἀπέλιπον ἔῤῥοντας καὶ φθειρομένȣς ἐκ ναὸς Τυρίας καὶ Φοινίσσης, ἐπὶ ταῖς τῆς Σαλαμῖνος ἀκταῖς.

978. ΙΩ ΙΩ ΜΟΙ ΜΟΙ. Φεῦ φεῦ. Τὰς Ἀθήνας ςυγνότητος καὶ λύπης

αἰτίας ἡμῖν γενομένας κατιδόντες οἱ Πέρσαι πάντες οἱ τλήμονες ἀπαίρουσι καὶ ὑποχωροῦσι, καὶ θνήσκουσιν ἐνὶ πιτύλῳ, ἤγουν τῷ θορύβῳ τῆς μάχης καὶ τῇ κραυγῇ.

985. ΟΦΘΑΛΜΟΝ ΜΥΡΙΑ ΜΥΡΙΑ ΠΕΜΠΑΣΤΑΝ. Ἆρα καὶ τὸν ὀφθαλμὸν τὸν σὸν τὸν κατὰ πάντα πιστὸν, τὸν πεμπαστὴν καὶ ἀριθμητὴν τῶν Περσῶν μυρία αὐτοῦ ἔλιπες ἔνθα καὶ οἱ λοιποί; Τινὲς δὲ τὸν ὀφθαλμὸν πιστὸν λέγουσι διότε ὁ βασιλέως ὀφθαλμὸς ἀριθμεῖ τὰ στρατεύματα. Πεμπάζω γὰρ τὸ ἀριθμῶ. Κυρίως δὲ τὸ κατὰ πεντάδα ἀριθμῶ. Οἱονεὶ μυριάδας ἀριθμοῦντα ὅλας καὶ ἡγεμονείας. Οἱ Περσῶν γὰρ βασιλεῖς εἶχον δύο τινὰς οἷς ἐπέτρεπον τὴν τῶν κοινῶν ἐπιτήρησιν, οὓς βασιλέως ἐκάλουν ὀφθαλμούς.

991. Ω ΔΑΙΩΝ. Διακοπτικῶν πολεμίων κακῶν.

993. ΙΥΓΓΑ ΜΟΙ. Τοῦτό φησιν ὁ Ξέρξης πρὸς τὸν χορὸν, ὅτι ἴυγγα καὶ φιλίαν καὶ ἡδονὴν τῶν ἀγαθῶν ἑταίρων μοι Περσῶν ὑπομιμνήσκεις, λέγων ἐμοὶ πρόκακα, ἤτοι τὰ προγεγονότα κακά. Ἢ πρόκακα, ἀντὶ τοῦ ἁπλῶς κακὰ, μηδέν τι τῆς πρὸ προθέσεως σημαινούσης. Τὸ δὲ ἄλαστα στυγνὰ, ἀντὶ τοῦ λυπηρὰ καὶ κατηφείας αἴτια κακὰ ἀνεπίληστα καὶ ἀεὶ μνημονευόμενα.

996. ΒΟΑι ΒΟΑι ΜΕΛΕΩΝ. Παρὰ τὸ,

——κραδίη δέ οἱ ἐντὸς ὑλάκτει.

998. ΚΑΙ ΜΗΝ ΑΛΛΟ ΤΙ ΠΟΘΟΥΜΕΝ. Καὶ μὴν ποθοῦμεν ἕτερόν τι μαθεῖν, τὸν μυριόνταρχον τῶν Μάρδων ἀνδρῶν. Οὗτοι δὲ ἔθνος Περσικόν.

1000. ΞΑΝΘΗΝ, ΑΡΕΙΟΝ Τ'. Λείπει ὁ καί.

1002. ΙΠΠΙΑΝΑΚΤΑΣ. Τοὺς ἄνακτας τῶν ἵππων.

1005. ΕΤΑΦΟΝ ΕΤΑΦΟΝ. Ἀπέθανον ἀπέθανον, οὐκ ἐπὶ ὀχημάτων ὄντες, ἀλλὰ γυμνοὶ καθεστηκότες. Ἄλλως· οὐχὶ ἑπόμενοι ὄπισθεν ἐν σκηναῖς τροχηλάτοις, οἷον ἔθανον, οὐκ ἀσχημόνως δὲ ἐτάφησαν. Ἔθος γὰρ ἦν τοῖς Πέρσαις σκηνὰς τῶν ἁμαξῶν ἄνωθεν ποιουμένους, ἐπιφέρειν ἐκεῖσε τοὺς νεκροὺς, καὶ οὕτως αὐτοὺς προπομπεύοντες ἔθαπτον.

1007. ΟΙΠΕΡ ΑΓΡΟΤΑΙ ΣΤΡΑΤΟΥ. Οἱ ἄρχοντες. Εἰ δὲ ἀκρόται, οἱ ἄκροι. Ἄλλως· ἀγρόται, γράφεται καὶ ἀκρόται. Ἐξ οὗ ἔσται ἀπὸ τοῦ ἄκρου· εἰ δὲ ἀγρόται, ἀπὸ τοῦ ἄγειν καὶ ἀγείρειν.

1008. ΟΙ ΝΩΝΥΜΟΙ. Τὸ οἵ, θρηνητικῶς.

1012. ΟΙΟΝ ΔΕΔΟΡΚΕΝ ΑΤΑ. Οἷον κακὸν ἡ Ἄτη ἐφορᾷ.

1013. ΟΙΑΙ ΔΙ' ΑΙΩΝΟΣ ΤΥΧΑΙ. Γράφεται δαίμονος τύχαι.

1018. ΔΥΣΠΟΛΕΜΟΝ. Δυσπόλεμον ἄρα καὶ κακοτυχὲς καὶ ἄθλιον τὸ γένος τῶν Περσῶν. Ἄλλως· δυσπόλεμον, κακωθὲν πολέμῳ καὶ δυστυχῆσαν.

1019. ΠΩΣ Δ' ΟΥ ΣΤΡΑΤΟΝ ΜΕΝ ΤΟΣΟΥΤΟΝ. Πῶς δὲ οὐχὶ κόπτομαι καὶ πέπληγμαι καὶ θρηνῶ, τοσοῦτον στρατὸν ὀλέσας;

1021. ΤΙΔ' ΟΥΚ ΟΛΩΛΕΝ. Εἰ μὲν εἰς τὸ τί δὲ, στίξεις, συντακτέον οὕτως, τί δὲ, οὐκ ὄλωλε τὰ μεγάλα τῶν Περσῶν; Εἰ δὲ καὶ εἰς τὸ οὐκ ὄλωλε, λείπει τὰ κακά· ἵνα ᾖ, τί δ' οὐκ ὄλωλεν ὁ στρατός. Μεγάλα τῶν Περσῶν τὰ κακά. Ἢ οὕτως, τί δ' οὐκ ὄλωλεν, στικτέον ἐν τῷ, τί δέ. Εἶτα, οὐχὶ τὰ μεγάλα τῶν Περσῶν ὄλωλεν;

1023. ΟΡΑΣ ΤΟ ΛΟΙΠΟΝ ΤΟΔΕ ΤΑΣ. Ἤγουν, θεωρεῖς τὸ ἐπίλοιπον λείψανον τοῦ ἐμοῦ στόλου. Ἤγουν τῆς ἐμῆς στρατείας, ἤτοι τὴν φαρέτραν τὴν ἀπολειφθεῖσαν ἀπὸ τῶν ἐμῶν ὅπλων.

1028. ΒΑΙΑΓ' ΩΣ ΑΠΟ ΠΟΛΛΩΝ. Ἤτοι, τὰ ἔσωθεν ἐγκεκρυμμένα, ὀλίγα εἰσὶν ὡς ἀπὸ πολλῆς πανοπλίας. Καὶ εἶθ' οὕτως ἐπιφέρει τὸ ἑξῆς, ὀδυρόμενος καὶ λέγων, ὡς ἀπὸ πολλῶν ἐσπανίσμεθα βοηθειῶν.

1030. ΙΑΟΝΩΝ ΛΑΟΣ. Ὁ χορὸς ἐρωτηματικῶς φησι πρὸς τὸν Ξέρξην, ὁ λαὸς τῶν Ἰαόνων καὶ τῶν Ἀθηναίων οὐ φυγαίχμας ἐστίν; Οὐ φεύγων τὴν αἰχμήν; Τοῦτ' ἔστι πτοούμενος τὸν πόλεμον. Ὁ δὲ Ξέρξης φησὶ πρὸς τὸν χορὸν, ἀγανόριός ἐστιν ὁ λαὸς τῶν Ἰαόνων, ἤγουν θαυμαστὸς ὁρᾶσθαι καὶ ἐπιτήδειος εἰς ἀνδρείαν. Κατεῖδον δὲ βλάβην ἀνέλπιστον.

1033. ΤΡΑΠΕΝΤΑ ΝΑΥΦΡΑΚΤΟΝ. Τοῦ Ξέρξου εἰπόντος ὅτι εἶδον πῆμα ἄελπτον, φησὶ πρὸς αὐτὸν ὁ χορὸς, τὸν ναυτικὸν ἡμῶν λαὸν τὸν ἡττηθέντα παρὰ τῶν Ἰαόνων λέγεις παθεῖν πῆμα ἄελπτον; Ὁ δέ φησι πρὸς αὐτὸν, ὅτι τοσοῦτον ἔδοξε τοῦτο χαλεπὸν, ὥστε καὶ τὸν ἱματισμόν μου διέῤῥηξα ἐπὶ τῇ συμφορᾷ τούτου τοῦ κακοῦ. Τοῦτο δὲ καὶ ὁ ἄγγελος προεῖπε;

1037. ΚΑΙ ΠΛΕΙΟΝ Η ΠΑΠΑΙ. Ὑπερβαίνει θρῆνον.

1040. ΚΑΙ ΣΘΕΝΟΣ Δ' ΕΚΟΛΟΥΣΘΗ. Τῶν Περσῶν.

1043. ΔΙΑΙΝΕ ΔΙΑΙΝΕ ΠΗΜΑ. Δάκρυε τὸ ἀτύχημα.

1046. ΔΟΣΙΝ ΚΑΚΑΝ. Ἤτοι, δίδου δόσιν κακὴν, ἤγουν δάκρυα, τοῖς κακοῖς τῶν ἐμῶν κακῶν. Ἤτοι τῶν συμφορῶν καὶ δυστυχιῶν τῶν ἐμῶν.

1047. ΙΥΖΕ ΜΕΛΟΣ ΟΜΟΥ ΤΙΘΕΙΣ. Ἤτοι συνηρμοσμένον καὶ ἁρμόζον τῇ ἐμῇ συμφορᾷ ἴυζε καὶ θρήνει. Ἄλλως· ὁμοῦ τιθεὶς, συντιθεὶς μέλος, θρήνει αὐτὸν εὐρύθμως.

1051. ΕΡΕΣΣ' ΕΡΕΣΣΕ ΚΑΙ ΣΤΕΝΑΖ' ΕΜΗΝ ΧΑΡΙΝ. Τύπτε σεαυτὸν εἰς ἐμὴν χάριν.

1053. ΒΟΑ ΝΥΝ ΑΝΤΙΔΟΥΠΑ ΜΟΙ. Ἤτοι ἐναντία τῇ ἐμῇ βοῇ, τοῦτ' ἔστι, φώνει μοι φωνὰς ἀντηχούσας ταῖς ἐμαῖς φωναῖς.

1055. ΕΠΟΡΘΙΑΖΕ ΝΥΝ ΓΟΟΙΣ. Ἐπεκτεταμένως θρήνει.

1057. ΜΕΛΑΙΝΑ. Πενθήρης.

1059. ΚΑιΠΙΒΟΑ ΤΟ ΜΥΣΙΟΝ. Οἱ γὰρ Μυσοὶ καὶ οἱ Φρύγες μάλιστα εἰσὶ θρηνητικοί.

1061. ΚΑΙ ΜΟΙ ΓΕΝΕΙΟΥ. Ληπτέον ἔξωθεν τὸ κόπτε, ἢ τίλλε. Ἤγουν, τίλλε καὶ τὴν λευκήρη καὶ πεπολιωμένην καὶ γηραιὰν τρίχα τοῦ σοῦ γενείου, δι' ἐμὴν χάριν. Ἄλλως· πέρθε, οἱ δὲ γράφοντες ὕπερθε, ἀμαθεῖς τοῦ μέτρου.

1062. ΑΠΡΙΓΔ' ΑΠΡΙΓΔΑ. Ὁ χορὸς, εἰπόντος τοῦ Ξέρξου, τίλλε τὴν σὴν γενειάδα φησὶν, ἀπρὶξ, καὶ δι' ὅλου, μάλα γόεδνα, καὶ λίαν λυπηρῶς καὶ γοερῶς τίλλω τὰς τρίχας τοῦ γενείου μου. Ἔστι δὲ τὸ ἄπριγδ' ἄπριγδα, ἐπιφώνημα καὶ ἐπίφθεγμα ἐπὶ τῶν μετὰ σφοδρότητος τιλλόντων τὰς τρίχας. Ἀντὶ τοῦ, ἐπιτεταμένως καὶ ἀπρὶξ καὶ οἷον ἐμμανῶς τίλλε τὰς τρίχας.

1063. ΓΟΕΔΝΑ. Ἤτοι ἕδνα καὶ δῶρα τοῖς γόοις καὶ τοῖς θρήνοις διδόμενα. Σύνηθες γὰρ τοῖς θρηνοῦσι τίλλειν τὰς ἑαυτῶν τρίχας.

1067. ΚΑΙ ΨΑΛΛ᾽ ΕΘΕΙΡΑΝ. Ἀπὸ τοῦ ψάλλειν τοῦ σημαίνοντος τὸ κόπτειν, λέγεται καὶ χοιροψάλας Διόνυσος, ὁ τίλλων τὰ μόρια τῶν γυναικῶν.

1077. ΓΟΑΣΘ᾽ ΑΒΡΟΒΑΤΑΙ. Ἤτοι Πέρσαι τρυφηλοὶ καὶ ἁβρῶς βαίνοντες, ὀδύρεσθε.

1078. ΔΥΣΒΑΤΟΣ. Δύσβατόν φησι τὴν Περσίδα, οὐχ ὡς σκληρὰν καὶ δύσκολον εἰς ἔμβασιν, ἀλλ᾽ ὡς ἐπὶ κακῷ καὶ δυστυχίᾳ βαινομένην τῷ Ξέρξῃ.

1080. Η Η Η Η. Φεῦ ὦ ὀλόμενοι ταῖς ἀπὸ τῆς βάριος ναυσὶ ταῖς τρισκάλμοις.

1081. ΠΕΜΨΩ ΣΕ. Προπέμψω.

ΣΧΟΛΙΑ ΔΕΥΤΕΡΑ.

Α΄.

ϐ. 1. ΟΙΧΟΜΕΝΩΝ. Πορευθέντων.

2. ΠΙΣΤΑ. Δέον εἰπεῖν ἡμεῖς μὲν οἱ γέροντες καλούμεθα πιστὰ καὶ ἀσφαλῆ τῶν ἐστρατευκότων καθ' Ἑλλάδος Περσῶν, τουτέστιν, ἡμᾶς ὁ Ξέρξης ἐνταῦθα κατέλιπεν ἀσφαλεῖς καὶ πιστοὺς τῆς ἀρχῆς φύλακας, ὥσπερ καὶ παρακατιὼν λέγει, πρὸς πιστὰ τάδε ἐπήνεγκεν· οἱ δὲ λέγονται τὸ πιστὰ ἀντὶ πίστειρα κατὰ συγκοπὴν, παντὶ δῆλον ὅτι ληροῦσι.

3. ΑΦΝΕΙΩΝ. Ὀλβίων.

4. ΕΔΡΑΝΩΝ. Κατοικησέων. ΠΡΕΣΒΕΙΑΝ. Ἐντιμότητα.

7. ΕΦΟΡΕΥΕΙΝ. Ἐπιστατεῖν.

8. ΝΟΣΤΩι. Ὑποστροφῇ.

10. ΟΡΣΟΠΟΛΕΙΤΑΙ. Κινεῖται.

13. ΟΙΧΩΚΕ. Ἐπορεύθη. ΝΕΟΝ Δ' ΑΝΔΡΑ ΒΑΫΖΕΙ. Ἤτοι, πᾶσαν τὴν νεότητα ἀνακαλεῖται ὁ θυμός.

14. ΤΙΣ ΙΠΠΕΥΣ. Τοῦ στρατοῦ, ἢ, τοῦ Ξέρξου, ἢ ἐξ ἐκείνων.

16. ΟΙΤΕ ΤΟ ΣΟΥΣΩΝ. Τοῦτο κατὰ ἀθροισμὸν καὶ μερισμόν. Ἄνω γὰρ εἰπὼν ὡς πᾶσα ἰσχὺς Ἀσιατογενὴς εἰς Ἑλλάδα ὥρμησεν νῦν ἐντεῦθεν ἀπαριθμεῖν ἄρχεται ὅθεν ὥρμησαν, καὶ τίνες οἱ τῆς στρατιᾶς ἡγέμονες. ΣΟΥΣΩΝ ΗΔ' ΕΚΒΑΤΑΝΩΝ. Αὗται αἱ πόλεις βασίλεια Περσῶν ἦσαν.

17. ΠΡΟΛΙΠΟΝΤΕΣ. Ἀφέντες. ΕΒΑΝ. Εἰς τὴν Ἑλλάδα.

20. ΣΤΙΦΟΣ. Τάξιν· πύκνωμα. ΠΑΡΕΧΟΝΤΕΣ. Ποιοῦντες.

24. ΥΠΟΧΟΙ. Ὑποχείριοι.

25. ΣΟΥΝΤΑΙ. Ὁρμῶσι.

28. ΕΥΤΛΗΜΟΝΙ ΔΟΞΗι. Τοιοῦτοι γάρ εἰσιν ὡς τοῖς αὐτοὺς θεωρουμένοις φόβον ἐμποιεῖν, καὶ δεινοὶ κατὰ τὴν μάχην, εὐτλημόνι καὶ καρτερικῇ δόξῃ ψυχῆς· τουτέστιν, οὐ μόνον τῷ εἴδει φοβεροὶ, ἀλλὰ καὶ δόξαν πᾶσιν παρέχουσιν, ὡς ἄρα δεινοὶ πρὸς τὸ μάχεσθαι ἐν καρτερίᾳ καὶ γενναιότητι ψυχῆς. Δέον δὲ εἰπεῖν εὐτλήμονος καὶ καρτερικῆς ψυχῆς, πρὸς τὸ δόξῃ ἐπήνεγκε, εὐτλήμονι δόξῃ ψυχῆς εἰπών. Ὥσπερ καὶ ἐν ἄλλοις τίσι πολλαχοῦ, καὶ Εὐριπίδῃ εἴρηται, καὶ ἐν τῷ παρόντι Αἰσχύλῳ λέγοντι, εἰς τὸ ὀπίσθεν δρᾶμα, ψαλλίοις τετραβάμοσι μωνύχων πώλων· οὐ γὰρ ἦσαν οἱ χαλινοὶ τετραβάμονες ἀλλ' οἱ ἵπποι.

34. ΝΕΙΛΟΣ. Ὑποχείριοι γὰρ Περσῶν ἦσαν Αἰγύπτιοι. ΣΟΥΣΙΣΚΑΝΗΣ. Ἦσαν δὲ οὗτοι.

36. ΙΕΡΑΣ ΜΕΜΦΙΔΟΣ. Ἱερὰν τὴν Μέμφιδα καλεῖ διὰ τὸ τιμᾶσθαι ἐκεῖ τὸν Ἆπιν, καὶ μυστήρια τοῖς Αἰγυπτίοις γίνεσθαι.

37. ΩΓΥΓΙΑΣ. Τὰς παλαιάς. Λέγει δὲ τὰς ἑκατοντάπυλας.

39. ΕΛΕΙΟΒΑΤΑΙ. Αἰγύπτιοι· ἕλος γὰρ τόπος ἐν Αἰγυπτίοις. ΕΡΕΤΑΙ. Κωπηλάται.

40. ΑΝΑΡΙΘΜΟΙ. Τοῦτο πρὸς τὸ πλῆθος ἔδει ἐπενεγκεῖν, καὶ εἰπεῖν ἀνάριθμον· νῦν δὲ πρὸς τὸ πρότερον ἀρσενικὸν ἀπέδωκεν.

41. ΑΒΡΟΔΙΑΙΤΩΝ. Πολυτελῶν ἔν τε τροφαῖς καὶ ἐνδύμασιν.

42. ΕΠΙΠΑΝ. Παντελῶς. ΗΠΕΙΡΟΓΕΝΗΣ. Ἤπειρος τόπος ἐν τῇ Ἀσίᾳ οὕτω καλούμενος, ἤγουν ἡ Λυκαονία, ὥσπερ καὶ ἐν τῇ Ἑλλάδι.

44. ΔΙΟΠΤΟΙ. Περίβλεπτοι.

47. ΔΙΡΡΥΜΑ. Τέθριππα. ΤΡΙΡΡΥΜΑ ΤΕΛΗ. Ἔξιππα πληρώματα, ξίφη.

49. ΣΤΕΥΝΤΑΙ. Ὁρμῶσι. ΙΕΡΟΥ. Μεγάλου. ΤΜΩΛΟΥ. Ὄρος Λυδίας. ΠΕΛΑΤΑΙ. Πλησιασταί.

51. ΑΚΜΟΝΕΣ. Καρτερικοὶ ἐκ μεταφορᾶς τοῦ ἄκμονος.

54. ΣΥΡΔΗΝ. Ὁμοῦ. ΕΠΟΧΟΥΣ. Ἐπιβάτας.

55. ΛΗΜΑΤΙ. Φρονήματι. ΠΙΣΤΟΥΣ. Θαῤῥαλέους.

58. ΔΕΙΝΑΙΣ. Μεγάλαις. ΥΠΟΠΟΜΠΑΙΣ. Προπομπαῖς.

59. ΑΝΘΟΣ. Ἐξαίρετον.

60. ΟΙΧΕΤΑΙ. Ἐπορεύθη.

62. ΜΑΛΕΡΩι. Θερμῷ καὶ διαπύρῳ.

63. ΗΜΕΡΟΛΕΓΔΟΝ. Τὸν ἐξ ἡμερῶν συλλεγέντα.

64. ΤΕΙΝΟΝΤΑ. Αὐξάνοντα.

65. ΗΔΗ. Πάλαι.

67. ΧΩΡΑΝ. Τὴν Εὐρώπην.

68. ΛΙΝΟΔΕΣΜΩι ΣΧΕΔΙΑι. Στολῇ νηῶν.

70. ΠΟΡΘΜΟΝ ΑΜΕΙΨΑΣ ΑΘΑΜΑΝΤΙΔΟΣ ΕΛΛΗΣ. Ἐν γὰρ ταῖς νηαις ἐζεύξε τὸν Ἑλλήσποντον ἑπταστάδιον ὄντα τὸ εὖρος, καὶ γῆν ἐπιχέας πεζῇ δι' αὐτοῦ τὸν στρατὸν ὁδεῦσαι πεποίηκεν. Ἀθάμας δὲ ἐκ Νεφέλης Ἕλλην καὶ Φρύξον πεποίηκε. Τελευτησάσης δὲ τῆς Νεφέλης, ἠγάγετο γυναῖκα Ἰνῶ, ἥτις Ἕλλῃ καὶ Φρύξῳ φθονοῦσα ὡς μητρυιά, ἐλυμήνατο τίσι μηχαναῖς τὰ σπέρματα ὡς μηκέτι σπειρόμενα οἷά τε ἐκ τῆς γῆς ἀναδίδοσθαι. Λιμοῦ οὖν κατειληφότος τὴν χώραν, οἱ ταύτης ἔνοικοι βουλόμενοι ἀπιέναι πρὸς τὸ μαντεῖον, λύσιν παρ' ἐκείνου μαθεῖν τοῦ κακοῦ, διεφθάρησαν ὑπὸ τῆς Ἰνοῦς χρήμασιν, ἵν' ἐκεῖθεν ἀποστρέφοντες μηδὲν ἄλλο λέγοιεν πρὸς Ἀθάμαντα, ἢ ὡς Φρύξον τε καὶ Ἕλλην θῦσαι Ἀπόλλωνα προστάττειν, εἰς ἀπαλλαγὴν τοῦ κακοῦ. Ἀθάμαντος οὖν μεταπεμπομένου αὐτοὺς ἐκ τῶν ποιμνίων, καὶ προστάττοντος κριὸν μετ' αὐτῶν ἀγαγεῖν, ἐπειδὴ κριὸν παραλαβόντες ἔμελλον πορεύεσθαι, οὗτος παραδόξως αὐτοῖς τὸ κατ' αὐτῶν ἐμήνυσε δρᾶμα. Φεύγοντες οὖν ἐποχούμενοι τῷ κριῷ, ἐπεὶ θαλάττης ἐπέβησαν, ἡ μὲν Ἕλλη ὀλισθήσασα τοῦ κριοῦ πίπτει ἐντὸς τοῦ πελάγους, ἀφ' ἧς Ἑλλήσποντος κέκληται. Ὁ δὲ Φρύξος προσορμήσας λιμένι καὶ τελευτήσας τὸν βίον ἐκεῖ, Φρύξου λιμένα τοῦτον ὡς αὐτοῦ καλεῖσθαι πεποίηκεν.

71. ΠΟΛΥΓΟΜΦΟΝ. Πολύκαρπον. ΟΔΙΣΜΑ. Πορείαν.

72. ΑΥΧΕΝΙ ΠΟΝΤΟΥ. Διὰ τὸ εἶναι τοῦτον στενόν, ἑπτὰ σταδίων γὰρ, παρεικάζει αὐχένι, ἄλλως τε καὶ ὅτι ἀρχὴ τῆς ἔσω θαλάττης ἐστίν.

74. ΕΠΙ ΠΑΣΑΝ ΧΘΟΝΑ. Ἠλπίζετο γὰρ Ξέρξης πᾶσαν τὴν γῆν δουλώσειν, μήτοι γε τὴν Ἑλλάδα.

75. ΠΟΙΜΑΝΟΡΙΟΝ ΘΕΙΟΝ. Ποίμνιον ἀνδρῶν. Θαυμαστὸν δὲ ἐς τὸ πλῆθος.

76. ΔΙΧΟΘΕΝ. Ἐξ ἀμφοτέρων τῶν μερῶν. ΠΕΖΟΝΟΜΟΙΣ ΕΚ ΤΕ ΘΑΛΑΣΣΗΣ. Δέον εἰπεῖν ἔκ τε γῆς καὶ θαλάσσης, εἰς μὲν τὸ θαλάσσης τὴν ἀκολουθίαν τοῦ λόγου ἐτήρησεν, εἰς δὲ τὸ γῆς ἐνήλλαξε, καὶ ἀντὶ τοῦ εἰπεῖν γῆς, πεζονόμοις ἤτοι πέζοις εἶπε, Πέζοι γάρ εἰσιν οἱ κατὰ τὴν γῆν ὁδεύοντες.

78. ΟΧΥΡΟΙΣΙ. Δυνατοῖς.

79. ΣΤΥΦΕΛΟΙΣ. Ταράκταις. ΕΦΕΤΑΙΣ. Τοξόταις. ΧΡΥΣΟΝΟΜΟΥ. Πλουσιωτάτης, τοιοῦτοι γὰρ οἱ Πέρσαι.

80. ΦΩΣ. Ἀνήρ.

81. ΚΥΑΝΕΟΝ. Σκοτεινὸν, φοβερόν.

82. ΔΕΡΓΜΑ. Βλέμμα.

84. ΑΣΥΡΙΟΝ. Περσικόν. ΔΙΩΚΩΝ. Ἐλαύνων.

85. ΔΟΥΡΙΚΛΥΤΟΙΣ. Πολεμικωτάτοις. ΑΝΔΡΑΣΙ. Τοῖς Ἕλλησι.

87. ΔΟΚΙΜΟΣ. Ἱκανος ἐσται. ΥΠΟΣΤΑΣ. Ὑπομείνας τοῦτο.

88. ΜΕΓΑΛΩι ΡΕΥΜΑΤΙ. Σύναπτε τὸ μεγάλῳ ῥεύματι πρὸς τὸ ἄμαχον.

89. ΕΧΥΡΟΙΣ. Στερέοις. ΕΡΚΕΣΙΝ. Τείχεσι.

90. ΑΜΑΧΟΝ ΚΥΜΑ. Ἤτοι τῶν Περσῶν.

91. ΑΠΡΟΣΟΙΣΤΟΣ. Ἀπρόσδεκτος. Εἰ γὰρ καὶ Πέρσαι τὰ εἰς πόλεμον θαυμαστοὶ, καὶ Ξέρξης τοσοῦτον πλῆθος κατὰ τῆς Ἑλλάδος ἐπήγαγεν, ἀλλ᾽ οὔτι οἶδε πῶ τὸ πρᾶγμα προβαίη· Θεοῦ γὰρ βουλήσει ἀλλότε ἄλλως τὰ τῆς νίκης χωρεῖ. Ὥστε καὶ τοὺς πολλοὺς ὑπ᾽ ὀλίγων ἂν καταπολεμωμένους θεάσαιο πολλάκις. Διὸ καὶ ἡμεῖς ἐσμὲν ταραχῆς καὶ φροντίδος μεστοί.

92. ΑΛΚΙΦΡΩΝ. Ἐν δυνάμει φρονῶν καὶ πολέμῳ.

94. ΑΛΥΞΕΙ. Ἐκφύγοι.

95. ΚΡΑΙΠΝΩι. Τάχει.

96. ΕΥΠΕΤΕΟΣ. Συντομωτάτου. ΑΝΑΙΣΣΩΝ. Κρατῶν. Ὃς γὰρ ταχύτατός ἐστιν ἅλεσθαι πηδήματος εὐπετέος ἄρχει.

97. ΦΙΛΟΦΡΩΝ. Φιλοφρόνως ἔδει εἰπεῖν, πρὸς δὲ τὸ ὄνομα τοῦτο ἐπήνεγκεν.

99. ΑΡΚΥΣΤΑΤΑ. Δίκτυα.

100. ΤΟΘΕΝ. Διὰ τοῦτο.

102. ΘΕΟΘΕΝ ΓΑΡ. Ἤγουν ἐξ ἀρχῆς εἱμαρμένον ἦν Πέρσαις παρὰ θεοῦ ἐν πολέμοις τοὺς ἄλλους νικᾶν.

104. ΕΠΕΣΚΗΨΕ. Ἐπῆλθε καὶ ἐξ ἀρχῆς συμβέβηκε.

105. ΠΥΡΓΟΔΑΙΚΤΟΥΣ. Πύργους δαμάζοντας.

106. ΔΙΕΠΕΙΝ. Ἐφορᾶν, διαπράττεσθαι. ΚΛΟΝΟΥΣ. Ταραχάς.

107. ΑΝΑΣΤΑΣΕΙΣ. Ἀφανισμούς.

109. ΠΟΛΙΑΝΟΜΕΝΗΣ. Λευκαινομένης τοῖς κύμασι.

110. ΛΑΥΡΩι. Σφοδρῷ.

111. ΠΟΝΤΙΟΝ. Θαλάττιον. Ἐπειδὴ τὸ ἄλσος ἐπὶ ξηρᾶς, διὰ τοῦτο πόντιον εἶπεν.

112. ΛΕΠΤΟΔΟΜΟΙΣ ΠΕΙΣΜΑΣΙ. Λεπτοῖς σχοινίοις.

113. ΛΑΟΠΟΡΟΙΣ ΤΕ ΜΗΧΑΝΑΙΣ. Ναῦσι περώσαις τοὺς λαούς.

114. ΤΑΥΤΑ. Διά. ΜΕΛΑΓΧΙΤΩΝ. Συνέτης ἢ πενθήρης.

115. ΑΜΥΣΣΕΤΑΙ. Σπαράσσεται.

117. ΠΟΛΙΣ. Ἑτέρα. ΠΥΘΗΤΑΙ. Ἀκούσῃ. Ὃ λέγει τοιοῦτόν ἐστι. Μήτις τῶν πασῶν πόλεων πύθηται καὶ ἀκούσῃ τὰ Σοῦσα ἀνδρῶν ἔρημα γενόμενα. Τουτέστι μὴ γένοιτό ποτε ἀφανισθῆναι τὴν τῶν Περσῶν ἀρχήν, εἰ γὰρ ἔσται τοῦτο, τὸ Κισσίνων πόλισμα ἐξ ἐναντίου θρῆνον ἐγείρει. Σοῦσα γὰρ καὶ Κίσσινα καὶ Ἐκβάτανα Περσικαὶ πόλεις, ἐν αἷς οἱ τῶν Περσῶν ἄρχοντες βασίλεια ἐποιοῦντο.

118. ΚΕΝΑΝΔΡΟΝ. Ἀνδρῶν ἔρημον.

121. ΑΝΤΙΔΟΥΠΟΝ. Ἀντήχες ἐν τῷ θρήνῳ. ΕΣΣΕΤΑΙ. Ἢ πρὸς τῷ ἔσσεται καὶ πρὸς τὸ ὀὰ στίξον, ἵνα πρὸς τὸ ἀπύων ἔξωθεν λαμβάνης ἔσται, λογιζόμενος καθολικὸν τὸ γυναικοπληθὴς ὅμιλος, διὰ πάσας τὰς ἐν Περσίδι γυναῖκας, ἢ πρὸς τὸ ἔσσεται ὑπόστιξον, ἵν' ᾖ ὁ γυναικοπληθὴς ὅμιλος μόναι αἱ ἐν Κισσίνοις γυναῖκες. Εἰ δέ τις εἴποι ὡς γυναικοπληθοῦς ὁμίλου ἀπύοντος ἔδει εἰπεῖν φαμέν, ὡς ἐπειδὴ ὁ τῶν γυναικῶν ὅμιλος μέρος ἦν τοῦ Κισσίνου πολίσματος, διὰ τοῦτο γυναικοπληθὴς ὅμιλος εἶπεν, εὕρηται δὲ αὕτη ἡ σύνταξις οὐκ ἐν ποιηταῖς μόνον, ἀλλὰ καὶ ἐν Θουκυδίδῃ.

123. ΑΠΥΩΝ. Ἔσται βοῶν.

125. ΒΥΣΣΙΝΟΙΣ. Κοκκίνοις. ΛΑΚΙΣ. Ἦγουν κτύπος ὑπὸ χειρῶν, ἢ σχίσματος. Σχιζομένων γὰρ τῶν πέπλων ἠχὼ γίνεται.

127. ΠΕΔΟΣΤΙΒΗΣ. Πεζικός.

128. ΣΜΗΝΟΣ. Πλῆθος.

129. ΟΡΧΑΜΩι. Ἡγέμονι ἤγουν τῷ Ξέρξῃ.

130. ΑΜΦΙΖΕΥΚΤΟΝ. Τὸν πόσιν ἀμφοτέραις ζευχθέντα διὰ τῶν πλοιῶν.

131. ΑΜΦΟΤΕΡΑΣ. Ἀσίας καὶ Εὐρώπης. ΑΛΙΟΝ. Θαλάσσιον.

132. ΠΡΩΝΑ. Ἐξοχήν. Ἐνταῦθα καταχρηστικῶς τὸ πρῶνα εἶπε, πρῶν γὰρ κυρίως ἡ τῶν ὀρῶν ἐξοχή. Ἐνταῦθα δὲ διὰ τοῦτο εἶπε διὰ τὸ εἶναι αὐτὸν ἐξοχὴν τῆς ἔξω θαλάσσης πρὸς τὴν εἴσω, καὶ οἱονεὶ αὐχένα. Ἐθεράπευσε δὲ αὐτὸ εἰπεῖν ἄλιον.

133. ΛΕΚΤΡΑ. Αἱ κοῖται.

134. ΔΑΚΡΥΜΑΣΙ. Τῶν γυναικῶν.

135. ΠΕΡΣΙΔΕΣ. Τοῦτο ὀρθοπτωτόν. Δέον γὰρ εἰπεῖν Περσίδων ἑκάστη, λείπεται μονόζυξ, πολύκλαυστος ἐν φιλανόρι πόθῳ, ἐξ ὀρθοῦ ἐπήνεγκε τὴν σύνταξιν, καὶ ἀντὶ εἰπεῖν ἀκροπενθὴς πρὸς τὸ ἑκάστη, οὕτω γὰρ ὁ λόγος ἀπῄτει, πρὸς τὸ Περσίδες ἔταξεν. ΑΚΡΟΠΕΝΘΕΙΣ. Πολύκλαυστοι.

136. ΦΙΛΑΝΟΡΙ. Ἀνδρῶν.

138. ΕΥΝΑΤΗΡ'. Σύνοικον.

140. ΕΝΕΖΟΜΕΝΟΙ. Κατοικοῦντες.

142. ΒΑΘΥΒΟΥΛΟΝ. Συνετωτάτην.

143. ΠΡΟΣΗΚΕΙ. Προσῆλθε.

146. ΓΕΝΟΣ. Ὑπάρχει.

147. ΤΟΞΟΥ ΡΥΜΑ. Ἕλκυσμα. Ἤγουν οἱ τοξικώτατοι Πέρσαι.

148. ΔΟΡΥΚΡΑΝΟΥ. Τοῖς ἐκ κρανίου ξύλου οὔσης, τοῦτο γὰρ ἰσχυρότατον καὶ στεγανώτατον πρὸς τὸ ποιεῖσθαι δόρατα. Ἤ, ἐκ τοῦ εἰπεῖν δορυκράνου λόγχης ἐδήλωσεν ἐν ταὐτῷ δύο, Δορὺ καὶ κράνος. Τὸ γὰρ δορυκράνου λόγχης ἰσχὺς, τοιοῦτόν ἐστιν ὡς ἂν εἰ ἔλεγεν ἄνδρες κράνει καὶ δορὶ ἰσχύοντες.

151. ΦΑΟΣ. Θέαμα.

153. ΠΡΟΣΦΘΟΓΓΟΙΣ. Χαιρετιστικοῖς.

Β΄.

157. ΘΕΟΥ ΜΕΝ. Τοῦ Δαρείου. ΕΥΝΑΤΕΙΡΑ. Σύνοικος. ΘΕΟΥ ΔΕ. Τοῦ Ξέρξου.

158. ΔΑΙΜΩΝ ΠΑΛΑΙΟΣ ΝΥΝ ΜΕΘΕΣΤΗΚΕ. Ἤγουν ἡ παλαιὰ εὐτυχία τῶν Περσῶν μεταβέβληται ἣν ἐν τοῖς πολέμοις εἶχον, καὶ πάντων ὡς εἰπεῖν ἀνθρώπων ἐδόκουν ἄριστοι.

159. ΤΑΥΤΑ. Διὰ τοῦτο. ΧΡΥΣΕΟΣΤΟΛΜΟΥΣ. Χρυσῷ κεκαλλωπισμένους· στολμὸς γὰρ ὁ καλλωπισμός.

161. ΑΜΥΣΣΕΙ. Σπαράσσει.

162. ΟΥΔΑΜΩΣ ΕΜΑΥΤΗΣ ΟΥΣ᾽ ΑΔΕΙΜΑΤΟΣ. Τουτέστι, ἔξω τοῦ καθεστηκότος τυγχάνουσα ὑπὸ τοῦ φόβου ὃν ἐν τῇ ψυχῇ ἔχω.

163. ΚΟΝΙΣΑΣ. Ταράξας. Ἡ σύνταξις, μὴ ὁ μέγας πλοῦτος κονίσας καὶ ταράξας τὸ ἔδαφος ἐν ποδὶ ἀνατρέψῃ καὶ ἀπολέσῃ τὸν ὄλβον καὶ τὴν εὐδαιμονίαν τῶν Περσῶν, ὃν μετὰ τῶν θεῶν μέγας καὶ θαυμαστὸς Δαρεῖος ἐποίησε. Σωματοποιεῖ δὲ ἐνταῦθα τὸν πλοῦτον, ὃ δὲ λέγει τοιοῦτόν ἐστι. Φοβοῦμαι μὴ ἡ μεγίστη τῶν Περσῶν εὐδαιμονία αὐτὴ ὑφ᾽ ἑαυτῆς ἀνατραπείη καὶ ἀφανισθείη. Ὅθεν διπλῆν κατὰ νοῦν στρέφω φροντίδα. Ἐστὶ δὲ αὐτή τις, μήτε τὸν πλοῦτον περὶ πλείστου ποιεῖσθαι, ὃς τὸν ὑπερμαχοῦντα οὐκ ἔχει, τοῦτο γάρ ἐστι τὸ ἀνάνδρων, μήτε τοῖς ἀχρημάτοις, ἤγουν τοῖς πένησι λάμπειν φῶς τοσοῦτον καὶ εὐδαιμονίαν, ὅση δύναμις πάρεστιν· τουτέστιν, ὅτι ὁ πλοῦτός ἐστι περισπούδαστος, ὁ μὴ ἀσφαλὴς, οὔτ᾽ αὖ τὸ ἐναντίον μακάριοί εἰσιν οἱ πένητες· ἔχοντες μὲν ἰσχὺν τὴν αὐτῶν χρημάτων, ἢ ἀπολειπόμενοι. Λέγει δὲ ταῦτα διὰ τὸ μηδὲν ὄφελος εἶναι ἔτι τῶν τοσούτων τῆς τῶν Περσῶν ἀρχῆς θησαυρῶν, εἰ Ξέρξης ἡττηθείη, πάντας Πέρσας μεθ᾽ ἑαυτοῦ ἐπαγόμενος, καὶ τῆς Περσίδος μετὰ γυναικῶν καὶ γερόντων ἀπολειφθείσης. Δέον δὲ οὕτως εἰπεῖν, μήτε χρημάτων ἀνάνδρων πλῆθος ἔτι σέβειν, μήτε μακαρίζειν τοὺς ἀχρημάτους, ἐνήλλαξε καὶ ἀντὶ τοῦ εἰπεῖν μακαρίζειν, λάμπειν εἶπεν.

165. ΤΑΥΤΑ. Διὰ τοῦτο. ΑΦΡΑΣΤΟΣ. Ἄῤῥητος.

167. ΦΩΣ. Δόξαν.

168. ΑΜΕΜΦΗΣ. Πολύς· ὃν οὐ δύναταί τις μέμψασθαι. Ἐστι δὲ ἐνταῦθα

τὸ ἀμέμφης ὅμοιον τῷ ἄφθονος. Λέγει δὲ ὡς ἐςι μέν τις πλέσιος σφόδρα, μὴ δυνάμενος δὲ τῦ πλέτυ ὑπερμαχεῖν, τῷ φόβῳ σύνεςιν.

170. ΣΥΜΒΟΥΛΟΙ ΛΟΓΟΥ ΤΟΥΔΕ. Συμβυλεύσατέ μοι τὸν περὶ τύτυ λόγον.

172. ΕΣΤΙ ΜΟΙ ΒΟΥΛΕΥΜΑΤΑ. Πᾶσα γὰρ ἀρίςη βυλὴ τοῖς γέρυσι πρόσεςιν, ἐμπειρίαν διὰ τὸ γῆρας ἔχυσι, καὶ αὐτὴ τῦτο νομίζω, διὰ γὰρ τὸ μοὶ τῦτο ἐδήλωσεν.

174. ΩΝ ΑΝ ΔΥΝΑΜΙΣ ΗΓΕΙΣΘΑΙ ΘΕΛΗι. Ἃ ἂν ὑπ' ἐξυσίαν καὶ δύναμιν ἡμῖν ἐςι.

177. ΣΤΕΙΛΑΣ. Ὁρμήσας, κινήσας.

178. ΙΑΟΝΩΝ. Τῶν Ἀθηναίων.

179. ΕΝΑΡΓΕΣ. Φανερόν.

180. ΠΑΡΟΙΘΕΝ. Προλαβύσης.

181. ΕΔΟΞΑΤΗΝ. Ἐφάνησαν. ΕΥΕΙΜΟΝΕ. Καλῶς ἐςαλμέναι καὶ ἐνδεδυμέναι.

182. ΗΣΚΗΜΕΝΗ. Κεκοσμημένη.

183. ΔΩΡΙΚΟΙΣΙΝ. Ἑλληνικαῖς.

184. ΤΩΝ ΝΥΝ. Γυναικῶν.

187. ΒΑΡΒΑΡΟΝ. Τὴν Ἀσίαν.

188. ΤΟΥΤΩ. Ἰςέον ὅτι ἐπείδη αὗται δέον εἰπεῖν, ἀρσενικῶς ἐξήνεγκε κατ' Ἀττικὴν συνήθειαν, ἀντὶ τῦ αὗται τύτω εἰπὼν, διὰ τῦτο καὶ τὸ ἀλλήλοις ἀρσενικῶς πρὸς τύτω ἀπέδωκεν. Οὕτως γὰρ ἐν πᾶσι τοῖς παλαιοῖς βιβλίοις εἴρηται, διὰ τῆς ο καὶ ι διφθόγγυ γραφόμενον. ΣΤΑΣΙΝ. Μάχην.

189. ΤΕΥΧΕΙΝ. Ποιεῖν.

191. ΑΥΤΩ. Αὐτάς. ΛΕΠΑΔΝ'. Ζυγόλωρα.

192. ΤΗιΔ' ΕΠΥΡΓΟΥΤΟ. Ταύτῃ τῇ Περσικῇ ἐσεμνύνετο.

193. ΕΥΑΡΚΤΟΝ. Εὐπειθές.

194. ΕΣΦΑΔΑΖΕ. Ἐταράττετο· ἐςασίαζε.

195. ΕΝ ΤΗι. Ἐν ταύτῃ τῇ δεξίᾳ.

196. ΞΥΝΑΡΠΑΖΕΙ. Ἐκφεύγει.

198. ΔΑΡΕΙΟΣ ΟΙΚΤΕΙΡΩΣ ΣΦΕ. Διὰ τῦτο ᾤκτειρε τὸν Ξέρξην Δαρεῖος διὰ τὸ καὶ αὐτὸν εἰς Ἑλλάδα μετὰ ςρατῦ ἐλθεῖν καὶ ἡττηθῆναι, καὶ ταῦτα μυριοπλάσιον πλῆθος ἔχοντα ἢ πρώην ἐκεῖνος. Δαρεῖος μὲν γὰρ ἐν τῇ πρώτῃ ςρατίᾳ ὐκ ἦν, ἀλλὰ ςρατηγὸν αὐτῦ τὸν Δᾶτιν ἔπεμψε. Ξέρξης δὲ ὐκ ἠνέσχετο ἕτερον πέμψαι, ἀλλ' αὐτὸς παρήν. Ὅθεν καὶ ἡττηθεὶς μείζω τὴν αἰσχύνην ἐκτήσατο ἢ εἰ μηδὲν ἦν.

199. ΡΗΓΝΥΣΙΝ. Ὑπ' αἰδῦς.

201. ΚΑΛΛΙΡΡΟΟΥ. Καλλιῤῥόη, ὄνομα πηγῆς, ἀφ' ἧς οἱ μέλλοντες θύσειν τὰς χεῖρας ἐκάθαιρον. Φασὶ γῦν διὰ τὸ αἰτίαν εἶναι καθαρμῦ, Καλλιῤῥόην αὐτὴν ὠνομᾶσθαι. Λέγει δὲ ἐνταῦθα Ἄτοσσα Καλλιῤῥόυ ἅψασθαι, ἢ ὅτι ἐν τῇ Περσίδι ἦν αὐτὴ ἡ πηγὴ, ἢ ὡς καθαρὸν ἔχυσα ὕδωρ καλλίῤῥοον ἐκάλεσε τὴν πηγὴν ἀφ' ἧς τὰς χεῖρας ἐνίψατο.

202. ΘΥΗΠΟΛΩι. Θυσίαν μελλέση ἐπηνεγκεῖν.

203. ΒΩΜΩι. Ἐν ᾧ τὰ θύματα ἔσφαζον ἐκαλεῖτο βωμὸς, ὢν τετραγωνοειδὴς τόπος τῦ ἱερῦ. Ἐσχάρα δὲ ὁ λάκκος ἐν ᾧ τὰ ἱερὰ ἔκαιον. ΠΕΛΑΝΟΣ. Οὐ μόνον ὁ ῥῦπος ὡς καὶ Εὐριπίδης φησὶν, ἀφρώδη πέλανον, ἤτοι τὸν ἐξ ἀφρῦ ῥῦπον, ἀλλὰ καὶ θῦμά τι. ΑΠΟΤΡΟΠΟΙΣΙ ΔΑΙΜΟΣΙ. Τοῖς ἀποτρεπτικοῖς κακῶν ὀνειράτων.

204. ΩΝ ΤΕΛΗ ΤΑΔΕ. Οἵτινες εἰσὶ τῶν τοιύτων ἔφοροι; Λέγει δὲ τὸν Ἀπολλῶνα.

206. ΑΦΘΟΓΓΟΣ. Ἄφωνος.

207. ΚΙΡΚΟΝ. Ὀξύπτερον.

208. ΚΑΡΑ. Τῦ ἀετῦ.

209. ΠΤΗΞΑΣ. Φοβηθείς.

210. ΠΑΡΕΙΧΕ. Τῷ κίρκῳ. ΤΑΥΤ' ΕΜΟΙΓΕ. Ταῦτα ἰδῦσα φοβῦμαι· οἶμαι δὲ καὶ ὑμᾶς ἀκύοντας.

213. ΟΥΧ ΥΠΕΥΘΥΝΟΣ. Οὐ μεμπτός.

214. ΟΜΟΙΩΣ ΤΗΣΔΕ ΚΟΙΡΑΝΕΙ ΧΘΟΝΟΣ. Ὥσπερ καὶ πρώην. Ὑπὲρ γὰρ τῆς τῶν Περσῶν ἀρχῆς, ὅπως ἔτι μεγίςη γένοιτο, προνοεῖτο.

215. ΟΥ ΣΕ ΒΟΥΛΟΜΕΣΘΑ. Οὐ ἐθελήσομεν διακρίναι τὸ ὄναρ. Εἴτε χρηςόν ἐςιν εἴτ' ἀπευκταῖον. Ἐὰν γὰρ δυςυχίας σημαντικὸν εἴπωμεν εἶναι, λυπήσομέν σε καὶ ἐμβαλῦμεν εἰς φόβον, ἀγωνιῶσαν ὑπὲρ παιδὸς μή τι κακὸν πάθοι. Ἐὰν δὲ χρηςὸν καὶ λυσιτελὲς αὐτὸ διακρίνωμεν, θρασυνῦμέν σε, καὶ ἀμελῆσαι ποιήσομεν τῶν θεῶν. Διὸ τύτυς ἱκετεύυσα εὔχυ τὰ λῷςα.

216. ΠΡΟΣΤΡΟΠΑΙΣ ΙΚΝΟΥΜΕΝΗ. Παρακλήσεσι ἱκετεύυσα.

217. ΦΛΑΥΡΟΝ. Κακὸν, φοβερόν. ΑΠΟΤΡΟΠΗΝ ΤΕΛΕΙΝ. Ἀποδιῶξιν πληρῦν.

220. ΦΘΙΤΟΙΣ. Νεκροῖς. ΠΡΕΥΜΕΝΩΣ. Συμπαθῶς.

223. ΤΑΜΠΑΛΙΝ ΔΕ. Τὰ ἐνάντια. ΤΩΝΔΕ. Τῶν ἐσθλῶν. ΚΑΤΟΧ'. Κεκρατημένα. ΑΜΑΥΡΟΥΣΘΑΙ. Ἀφανίζεσθαι.

224. ΘΥΜΟΜΑΝΤΙΣ. Οὐ τέχνῃ μάντις ἀλλ' ἐκ λογισμῦ κρίνων. ΠΡΕΥΜΕΝΩΣ. Εὐνοϊκῶς, συμπαθῶς.

225. ΠΑΝΤΑΧΗ. Κατὰ πάντα τὸν τρόπον. ΤΕΛΕΙΝ ΣΟΙ. Τὺς θεὺς καὶ τὸν πόσιν. ΤΩΝΔΕ ΚΡΙΝΟΜΕΝ ΠΕΡΙ. Κρίνομεν δὲ καὶ λογιζόμεθα περὶ τῶνδε ὧν ἐθεάσω κατ' ὄναρ, εἰ πρὸς τὺς θεὺς ἀναθήσεις, καὶ χοὰς τῷ πόσει ποιήσεις, καλῶς τύτυς τελεῖν σοι, κατὰ πάντα τρόπον ταυτί. Εἴτε γὰρ χρηςά ἐςι, ταχέως τελέσυσιν, εἴτ' αὖ τὐνάντιον, ἀλεξίκακοι γένωνται, ἐξιλεωθέντες θυσίαις τε καὶ δεήσεσι ταῖς σαῖς.

227. ΠΑΙΔΙ ΚΑΙ ΔΟΜΟΙΣ ΕΜΟΙΣΙ. Τῇ ἡμῶν ἀρχῇ. ΤΗΝΔΕ ΕΚΤΡΩΣΑΣ ΦΑΤΙΝ. Τὸ τοῖς θεοῖς εὔχεσθαι καὶ παρ' ἐκείνων αἰτεῖν τὰ βέλτιςα.

228. ΕΦΙΕΣΑΙ. Ἀποδέχῃ, προστάττεις.

229. ΕΝΕΡΘΕ ΓΗΣ ΦΙΛΟΙΣ. Ἤγυν τῷ Δαρείῳ.

232. ΤΗΛΕ. Μακρὰν. ΑΝΑΚΤΟΣ ΗΛΙΟΥ. Τȣ͂ βασιλέως τῶν Περσῶν, τȣ͂τον γὰρ μάλιϛα πάντων σέβονται. ΦΘΙΝΑΣΜΑΤΩΝ. Λήξεων.

233. ΙΜΕΙΡ'. Ἐπεθύμει.

235. ΠΑΣΑ. Ναί. ΓΕΝΟΙΤ' ΑΝ. Εἰ Ἀθήνας εἷλε. ΒΑΣΙΛΕΩΣ τῶν Περσῶν.

236. ΑΝΔΡΟΠΛΗΘΕΙΑ ΣΤΡΑΤΟΥ. Εἰπȣ͂σ' Ἄτοσσα ὡς ἐπεθύμει Ξέρξης Ἀθήνας ἑλεῖν, ἐπειδὴ ὁ Χορὸς ἔφη πρὸς αὐτὴν, καὶ ἐπεθύμει, εἰ γὰρ Ἀθήνας εἷλε πᾶσα ἂν ἐγεγόνει ὑπήκοος αὐτῷ ἡ Ἑλλὰς, νῦν αὐτὴ πάλιν φησὶν, ὅτω πόλυν ϛρατὸν Ἀθηναῖοι ἔχȣσιν ὡς ἀναλωτον εἶναι τὴν πόλιν αὐτῶν, καὶ τὸν αὐτȣ̀ς κατκγωνισάμενον καὶ πάντας ἂν ἀνθρώπȣς ὑπὸ χεῖρα λαβεῖν;

236. ΜΗΔΟΥΣ. Τȣ̀ς Πέρσας. ΚΑΚΑ. Ὅτ' ἐς Μαραθῶνα ἡττήθησαν.

237. ΤΟΥΤΟΙΣΙΝ. Τῷ πλήθει καὶ τῇ ἀνδρείᾳ. ΕΞΑΡΚΗΣ. Πόλυς.

238. ΑΡΓΥΡΟΥ ΠΗΓΗ. Ἐν Θωρίκῳ γὰρ τῆς Ἀττικῆς ἀργύρȣ μέταλλα.

239. ΤΟΞΟΥΛΚΟΣ ΑΙΧΜΗ. Ἐπειδὴ ἡ αἰχμὴ ἐπὶ λόγχης λέγεται, διὰ τȣ͂το καὶ τοξȣλκὸς εἶπεν, ἐμφαίνȣσα διὰ τȣ́τȣ τὰ τόξα.

240. ΣΤΑΔΑΙΑ. Στάσιμα καὶ ἀγχέμαχα.

241. ΠΟΙΜΑΝΩΡ ΕΠΕΣΤΙ. Ἡγέμων αὐτοῖς.

243. ΠΩΣ ΑΝ ΟΥΝ. Μὴ ὄντος τȣ͂ συνέχοντος αὐτȣ̀ς ἐν πολέμῳ ἄρχοντος.

244. ΩΣΤΕ. Οὕτως ὑπομένȣσι.

245. ΔΕΙΝΑ ΤΟΙ ΛΕΓΕΙΣ. Ἐπειδὴ τοιȣ́τȣς αὐτȣ̀ς εἶναι λέγεις, δεινὰ τοῖς τέκȣσι λέγεις, τȣτέϛι, φόβον ἐμβάλλεις πάτρασί τε καὶ μήτρασι τῶν ἀπελθόντων ἐκεῖσε παίδων φροντίσαι μή τι πάθωσιν.

247. ΤΟΥΔΕ ΓΑΡ ΔΡΑΜΗΜΑ. Ὁ τȣ͂δε τȣ͂ ἀνδρὸς δρόμος Περσικός ἐϛι, τȣ͂το γὰρ δηλοῖ Περσικὸν πρέπει μαθεῖν, τȣτέϛιν, ἐκ Περσῶν ἐϛὶ τῶν ἐς Ἑλλάδα διεϛρατευκότων ὁ ȣ͂τος ἄγγελος, πρὸς ἡμᾶς ἰὼν καὶ φέρων ἡμῖν κλύειν καὶ ἀκȣ́ειν σαφές τι πρᾶγος καὶ πρᾶγμα ἐσθλὸν ἢ κακόν. ΠΡΕΠΕΙ. Διαλάμπει.

250. ΠΟΛΥΣ ΠΛΟΥΤΟΥ ΛΙΜΗΝ. Ἦγȣν πλȣ͂τε, περιφραϛικῶς. Διὰ τȣ͂το δὲ εἶπε λιμένα πλȣ͂τȣ, ἢ διὰ τὸ τȣ̀ς πλέοντας ἐν λιμένι καταφεύγειν καὶ σώζεσθαι. Οὕτω δὲ καὶ ὁ πλȣ͂τος τȣ̀ς ἔχοντας αὐτὸν ἐνδόξȣς ποιεῖ καὶ φυλακὴν αὐτοῖς ἐντίθησιν.

252. ΟΛΒΟΣ. Εὐδαιμονία. ΑΝΘΟΣ. Τὸ ἐξαίρετον.

253. ΚΑΚΟΝ ΜΕΝ. Στέργει γὰρ ȣ̓δεὶς ἄγγελον κακῶν ἐπῶν.

254. ΑΝΑΠΤΥΞΑΙ. Δηλῶσαι, σαφηνίσαι.

256. ΑΝΙΑ. Ἀνία τὰ λυπηρά. ΝΕΟΚΟΤΑ. Νεοφανῆ.

257. ΔΑΙΑ. Πολεμικὰ, ἀφανιϛικά.

258. ΔΙΑΙΝΕΣΘΕ. Δακρύετε.

260. ΕΚΕΙΝΑ. Ἃ ἐπίϛασθε. ΔΙΑΠΕΠΡΑΓΜΕΝΑ. Ἐφθαρμένα.

262. Η ΜΑΚΡΟΒΙΟΤΟΣ. Οὕτως διὰ τȣ͂το μέχρι τȣ͂ παρόντος καιρȣ͂ βεβιώκαμεν ἵνα τοιȣ́των συμφορῶν ἀκȣϛαὶ γενώμεθα; ἀναγνωϛέον δὲ, ἢ, κατὰ ϛάμα καὶ ὑποϛιγμὴν, ἢ, κατὰ ϛάμα μόνον, ἢ, ἄρα, ὄντως.

265. ΑΕΛΠΤΟΝ. Ἀνέλπιϛον.

267. ΕΠΟΡΣΥΝΘΗ ΚΑΚΑ. Παρ' Ἑλλήνων ἐγεγόνει τοῖς Πέρσαις.

269. ΤΑ ΠΟΛΛΑ ΒΕΛΕΑ ΠΑΜΜΙΓΗ. Ἤγουν στρατὸς ἐκ πολλῶν ἐθνῶν συγκεκροτημένος.

272. ΔΥΣΠΟΤΜΩΝ. Ἀθλίων.

273. ΠΡΟΣΧΩΡΟΣ. Πλησιόχωρος τῇ Σαλαμῖνι.

275. ΑΛΙΔΟΝΑ. Ἐν τῇ θαλάσσῃ φερόμενα. ΠΟΛΥΒΑΦΗ. Ἐξ αἵματος.

277. ΠΛΑΓΚΤΟΙΣ. Πλησιαζομένοις ὑπὸ τῶν κυμάτων, ἤ, ἐν αἷς ταῦτα πλανῶνται. ΔΙΠΛΑΚΕΣΣΙΝ. Διπλαῖς ἄκταις Σαλαμῖνος καὶ τῆς γῆς, ἤ, ταῖς διπλαῖς ἔνθα φερομέναις στροφαῖς κυμάτων.

278. ΗΡΚΕΙ. Ἐβοήθει, ἄρκετα ἦν.

279. ΕΜΒΟΛΑΙΣ. Προσκρούσεσιν.

280. ΙΥΖ'. Βόα, θρήνησον. ΑΠΟΤΜΟΝ. Ἀθλίαν.

281. ΔΥΣΑΙΑΝΗ. Δυστυχῆ καὶ δυσθρήνητον, αἰάζω γὰρ τὸ θρηνῶ. ΔΑΙΟΙΣ. Πολεμίοις.

282. ΩΣ ΠΑΝΤΑ ΠΑΓΚΑΚΩΣ ΕΘΕΣΑΝ. Ἤγουν τὸ καθ' Ἑλλήνων στρατεῦσαι κακῶς διενοήθησαν, ἐφθάρησαν γάρ. ΕΘΕΣΑΝ. Ἐποίησαν.

283. ΣΤΡΑΤΟΥ ΦΘΑΡΕΝΤΟΣ. Ἕνεκα.

284. Ω ΠΛΕΙΣΤΟΝ ΕΧΘΟΣ. Ἤγουν, ὦ Σαλαμὶς καὶ πρὸς μόνην τὴν ἀκοὴν δυσχέρειαν φέρουσα ἐμοί γε καὶ σφοδρὰ μισητή.

285. ΦΕΥ ΤΩΝ ΑΘΗΝΩΝ. Ἐκεῖσε γὰρ πάντες οἴχονται Πέρσαι.

286. ΣΤΥΓΝΑΙ. Μίσηται. Στυγνότητα καὶ λύπην αἱ Ἀθῆναι φέρουσαι τοῖς πολεμίοις, καὶ πρὸς μνήμην αὐτοῖς ἰοῦσαι, μήτοι γε δὴ εἰς πεῖραν ἰοῦσ' αὐτῶν. ΔΗΙΟΙΣ. Πολεμίοις.

287. ΠΑΡΑ. Πάρεστι. Οὐ μόνον τὸ πάρα ἀντὶ πάρεστιν, ἀλλὰ καὶ ἀντὶ πάρεισιν ὡς ἐνταῦθα. Παρὰ γὰρ πρόθεσίς ἐστιν, ἀναβιβαζομένου τοῦ τόνου ποιητικῶς. Ἔξωθεν δὲ ὑπαρκτικὸν ῥῆμα νοοῦμεν, εἴτε ἑνικῶς εἴτε πληθυντικῶς. ΠΟΛΛΑΣ ΠΕΡΣΙΔΩΝ ΜΑΤΑΝ ΕΚΤΙΣΑΝ ΕΥΝΙΔΑΣ ΗΔ' ΑΝΑΝΔΡΟΥΣ. Τὸ πολλὰς νοητέον, ἤ, ἀντὶ τοῦ πόλεις, ἤ, ἀντὶ τοῦ μητέρας καὶ γαμετάς. Ὅπερ σαφανίζεται ἐκ τοῦ εὐνίδας καὶ ἐκ τοῦ ἀνάνδρους, τοῦ μὲν εὐνίδας πρὸς τὸ μητέρας νοουμένου, ἀντὶ τοῦ ἐστερημένας τῶν οἰκείων παίδων, τοῦ δὲ ἀνάνδρους, πρὸς τὸ γαμετάς. Ἅτινα νοοῦνται καὶ εἰ τὸ πόλλας ἀντὶ πόλεις ἐκλάβῃς. Τὸ δὲ ἔκτισαν ἀντὶ ἐποίησαν, κτίζομεν γὰρ τεῖχος ἀντὶ τοῦ ποιοῦμεν· Τὸ δὲ Περσίδων, εἰ μὲν τὸ πόλλας πρὸς τὸ πόλεις εἴπῃς, ἀντὶ Περσικῶν πόλεων νοήσεις, εἰ δὲ πρὸς τὸ δεύτερον, ἀντὶ τοῦ γυναικῶν.

292. ΤΟ ΜΗΤΕ ΛΕΞΑΙ. Μὴ νοήσῃς ἐνταῦθα ἔξωθεν κατά. Εἰποῦσα γὰρ ὡς ὑπερβάλλει ἥδε ἡ συμφορά, ἐπήνεγκε τὴν ὑπερβολήν. Ἥτις ἐστί, τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι τὰ πάθη. Ἔστι δὲ ὅμοιον κἀκεῖνο ὅ φησι Προμηθεὺς πρὸς τὸν χορὸν λέγων, Ἐπεὶ προθυμεῖσθ' οὐκ ἐναντιώσομαι τὸ μὴ γεγωνεῖν πᾶν ὅσον προσχρήζετε.

291. ΠΗΜΟΝΑΣ. Συμφοράς.

294. ΑΝΑΠΤΥΞΑΣ. Σαφηνίσας.

295. ΚΑΤΑΣΤΑΣ. Ἀντὶ τοῦ εἰς κατάστασιν ἐλθών, ἐθρήνει γάρ.

297. ΑΡΧΕΛΕΙΩΝ. Ἡγεμόνων τῶν λαῶν. ΟΣ Τ'. Τὸ ὅς, εἰ μὲν μικρο-

γραφεῖται, πάνυ σαφέστατον, εἰ δὲ μεγαγράψεις, ὡς ἔν τισι τῶν βιβλίων εὑρίσκεται, οὕτως εἴπης. Εἰποῦσα γὰρ τίνα τῶν τοῦ στρατοῦ ἡγεμόνων θρηνήσομεν, ἐπιφέρει κατ' ἐπίκρισιν, ὥστε ἐπεὶ τοῦτον θρηνήσομεν, ὧν ἐτάχθη στρατηγὸς, τούτους ἀνάνδρους κατέλιπε θανών. Τουτέστιν, ἐπειδὴ οὗτος ἀπώλετο κἀκεῖνοι ἐφθάρησαν. ΣΚΗΠΤΟΥΧΙΑι. Ἀρχῇ καὶ ἐξουσίᾳ.

301. ΜΕΛΑΓΧΙΜΟΥ. Μελαίνης.

302. ΜΥΡΙΑΣ. Πολλῆς. ΒΡΑΒΕΥΣ. Ἡγεμών.

303. ΣΤΥΦΛΟΥΣ. Σκληράς. ΘΕΙΝΕΤΑΙ. Τύπτεται. ΣΙΛΗΝΙΩΝ. Σηλίνιαι αἰγιαλός ἐστι τῆς Σαλαμῖνος οὕτω καλούμενος. Λέγεται δὲ καὶ Τρόπαια Ἄκρα ὡς Φιλόξενος ἐν τῷ περὶ λιμένων ἱστορεῖ.

304. ΠΛΗΓΗ. Τρώσει.

305. ΑΦΗΛΑΤΟ. Ἐπήδησε.

307. ΘΑΛΑΣΣΟΠΛΑΚΤΟΝ. Τοῦτο ἀδολεσχία, πᾶσα γὰρ νῆσος ὑπὸ θαλάσσης πλησιάζεται ἢ πλήττεται. Λέγει δὲ τὴν Σαλαμῖνα. Τὸ δὲ ΠΟΛΕΙ ἀντὶ τοῦ συστρέφεται, θανόντος γὰρ περὶ τοῦτον τὸν τόπον, ἐνταῦθα ἡ ψυχὴ αὐτοῦ ἐμφιλοχωρεῖ.

309. ΝΗΣΟΝ ΤΗΝ ΠΕΛΕΙΟΘΡΕΜΜΟΝΑ. Τὴν Σαλαμῖνα, τὰς περιστέρας ἔχουσαν μᾶλλον τῶν ἄλλων.

310. ΚΥΡΙΣΟΝ. Προσέκρουον· πεσόντες γὰρ ἡμιθνῆτες, ποσί τε καὶ κεφαλῇ ἐστροβοῦντο, εἴρηται δὲ τὸ ἐκύρισσον ἐκ μεταφορᾶς, τῶν ἀλόγων ζώων τῶν τυπτόντων τοῖς κέρασιν ἄλληλα.

314. ΧΡΥΣΕΥΣ. Ὄνομα. ΜΑΤΑΛΛΟΣ. Ἐπίθετον.

315. ΙΠΠΟΥ ΜΕΛΑΙΝΗΣ. Διὰ τὸ ὀλίγους πάνυ λευκοὺς εὑρίσκεσθαι ἵππους, τοὺς δὲ ἄλλους ἐκ τῶν ἑτέρων χρωμάτων ὄντας ἃ πρὸς τὸ μέλαν μᾶλλον ᾠκείωται, διὰ τοῦτο μελαίνης ἵππου φησίν.

316. ΠΥΡΡΑΝ. Ξάνθην. ΖΑΠΛΗΘΗ. Πολλήν. ΔΑΣΚΙΟΝ. Μεγίστην ἀποτελοῦσαν διὰ τὸ πλῆθος σκίαν.

317. ΕΤΕΓΓ'. Ἔβρεχεν. ΑΜΕΙΒΩΝ ΧΡΩΤΑ. Ἐναλλάττων ὄψιν. ΠΟΡΦΥΡΕΑι ΒΑΦΗι. Ἐρυθρᾷ τῇ τοῦ αἵματος.

318. ΜΑΓΟΣ. Ἀξίωμα παρὰ Πέρσαις τὸ μάγος. Ἔλεγον δὲ οὕτω τοὺς ἀστρονόμους.

319. ΣΚΛΗΡΑΣ. Πετρώδους. ΓΗΣ. Τῆς βακρίας. ΚΑΤΕΦΘΙΤΟ. Ἐφθάρη.

320. ΑΜΙΣΤΡΙΣ. Ὄνομα. ΑΜΦΙΣΤΡΕΥΣ. Ἐπίθετον· ἢ πρὸς τὸ Ἄμιστρις στίξον ἵν' ὦσι δύο ὀνόματα.

321. ΝΩΜΩΝ. Κατέφθιτο ἀπὸ κοινοῦ. ΑΡΙΟΜΑΡΔΟΣ. Κατέφθιτο. ΣΑΡΔΕΣΙ. Ἐντεῦθεν γὰρ ἦν.

322. ΣΙΡΑΜΗΣ. Κατέφθιτο. Ο ΜΥΣΙΟΣ. Ὁ ἀπὸ Μυσίας.

323. ΠΕΝΤΗΚΟΝΤΑ ΠΕΝΤΑΚΙΣ. Ἦγουν διακοσίων πεντήκοντα.

325. ΟΥ ΜΑΛ' ΕΥΤΥΧΩΣ. Ἀλλὰ δυστυχῶς, καὶ παρὰ τὴν ἀξίαν, οὐ γὰρ ἔδει τὸν τηλικοῦτον τὴν ὥραν ἀθλίως ἀπολώλοτα κατὰ γῆς ἐρρίφθαι.

327. ΑΠΑΡΧΟΣ. Ἐξαίρετος· ἀπὸ τῦ ἀπαρχὴ γίνεσθαι. ΠΛΕΙΣΤΟΝ ΠΟΝΟΝ. Ἤγυν ἀνδρείως ἀγωνισάμενος καὶ δυσκαταγώνιςος δόξας τῷ πολέμῳ.

331. ΥΨΙΣΤΑ. Μέγιςα, ὑπέρτατα.

332. ΑΙΣΧΗ. Ὀνείδη. ΛΙΓΕΑ. Ὀξέα.

333. ΑΝΑΣΤΡΕΨΑΣ. Ἀναλαβὼν τὸν λόγον.

336. ΕΜΒΟΛΑΙΣ. Συγκρύσεσι.

337. ΕΚΑΤΙ. Χάριν.

338. ΚΡΑΤΗΣΑΙ. Τῶν Ἑλλήνων.

339. ΤΡΙΑΚΑΔΑΣ ΔΕΚΑ. Τριακοσίας ναῦς.

340. ΧΩΡΙΣ. Ἴδια.

342. ΠΛΗΘΟΣ. Νηῶν. ΥΠΕΡΚΟΜΠΟΙ. Ἐξαίρετοι.

343. ΕΚΑΤΟΝ ΔΙΣ ΗΣΑΝ ΕΠΤΑ Θ'. Κατὰ κοινὸν τὸ δὶς, ἵν' ἦ διακόσια ιδ'.

344. ΔΟΚΟΥΜΕΝ. Οὕτως ἔχοντες.

345. ΑΛΛ' ΩΔΕ. Ἐνταῦθα, ἤγυν εἰς τὸ πλῆθος, τὸ ὧδε ἀντὶ τῦ ἐνταῦθα, ἢ ἀντὶ τῦ ὕτω νόει.

346. ΤΑΛΑΝΤΑ ΒΡΙΖΑΣ. Τὰ ζυγὰ τῆς νίκης ἐπικλίνας εἰς τὺς Ἕλληνας.

348. ΕΣΤ' ΑΡ' ΑΘΗΝΩΝ. Εἰς τὸ ἑξῆς, ἐπεὶ οἱ θεοὶ σώζυσιν.

349. ΑΝΔΡΩΝ ΓΑΡ ΟΝΤΩΝ. Ἐν τῇ πόλει. ΑΣΦΑΛΗΣ. Ἡ βοήθεια τῶν θεῶν. Εἰ γὰρ θεοὶ Ἀθηναίυς σώζυσιν, ἀπόρθητον ἐς ἀεὶ ἡ τύτων ἂν εἴη πόλις, ἐπεὶ ἀσφαλής ἐςι φυλακὴ ἡ τύτων βοήθεια.

350. ΣΥΜΒΟΛΗΣ. Συῤῥάξεως.

352. ΚΑΤΑΥΧΗΣΑΣ. Θαῤῥήσας.

354. ΑΛΑΣΤΩΡ. Φθορεύς.

355. ΑΝΗΡ ΓΑΡ ΕΛΛΗΝ. Σύκινος ὁ Θεμιςοκλέυς παιδαγωγός.

357. ΚΝΕΦΑΣ. Σκότος.

358. ΣΕΛΜΑΣΙ. Καθέδραις.

359. ΕΠΑΝΘΟΡΟΥΝΤΕΣ. Ἀναπηδῶντες.

360. ΒΙΟΤΟΝ. Ζωὴν αὐτῶν.

361. Ο Δ'. Ὁ Ξέρξης. ΩΣ. Ἐπεί.

362. ΤΩΝ ΘΕΩΝ ΦΘΟΝΟΝ. Νέμεσιν ἣν τοῖς μεγάλα φρονῦσιν ἐπάγυσιν, ἀπροσδοκήτως καταβάλλοντες αὐτύς.

364. ΕΥΤ' ΑΝ. Ὁπηνίκα.

365. ΤΕΜΕΝΟΣ. Τὸν τόπον.

366. ΣΤΙΦΟΣ. Τὸ πλῆθος. ΣΤΟΙΧΟΙΣ. Τάξεσι.

367. ΕΚΠΛΟΥΣ. Ἐξελεύσεις.

368. ΑΛΛΑΣ ΤΕ. Ναῦς τάξαι. ΝΗΣΟΝ. Φυλάσσειν.

371. ΠΑΣΙ. Τοῖς Βαρβάροις.

372. ΚΑΡΤ'. Λίαν.

373. ΤΟ ΜΕΛΛΟΝ. Ὃ πείσεται.

374. ΟΥΚ ΑΚΟΣΜΩΣ. Οὐ ταραχθέντες πρὸς τὸν λόγον ἐκείνυ ἀλλὰ πεισθέντες αὐτῷ.

375. ΕΠΟΡΣΥΝΟΝΤΟ. Εὐτρέπιζον ἑαυτοῖς.

376. ΤΡΟΠΟΥΤΟ. Διετίθει. ΣΚΑΛΜΟΝ. Τὸ ξύλον ἐν ᾧ ἡ κώπη δεῖται. ΕΥΗΡΕΤΜΟΝ. Καλῶς ἐρέσσοντα.

377. ΚΑΤΕΦΘΙΤΟ. Παρῆλθε.

378. ΚΩΠΗΣ ΑΝΑΞ. Ἤτοι κωπηλάτης.

380. ΠΑΡΕΚΑΛΕΙ. Παρεκίνει. ΜΑΚΡΑΣ. Πολλῆς, ἢ τῶν ἰδιωτικῶς λεγομένων κατέργων· ἃ ἴδια μακρὰ πλοῖα καλοῦσιν.

382. ΔΙΑΠΛΟΟΝ. Διαπλέοντες τὸν τεταγμένον τόπον. ΚΑΘΙΣΤΑΣΑΝ. Ἐποίησαν.

384. ΕΧΩΡΕΙ. Παρήρχετο.

385. ΕΚΠΛΟΥΝ. Ἔκπλευσιν. ΚΑΘΙΣΤΑΤΟ. Ἐποίει.

387. ΙΔΕΙΝ. Τινὰ αὐτήν.

389. ΜΟΛΠΗΔΟΝ. Ἠχητικῶς. ΟΡΘΙΟΝ. Μέγα.

390. ΑΝΤΗΛΑΛΑΞΕ. Τῷ τῶν Ἑλλήνων ἤχῳ ἀντήχησε.

392. ΓΝΩΜΗΣ ΑΠΟΣΦΑΛΕΙΣΙΝ. Προσδοκίας ἁμαρτάνουσιν.

393. ΣΕΜΝΟΝ. Μέγαν, λαμπρόν.

394. ΕΣ ΜΑΧΗΝ. Εὔφημον.

395. ΑΥΤΗι. Ἐν ἤχῳ. ΕΠΕΦΛΕΓΕΝ. Λαμπρῶς ἐπεῖχε.

396. ΡΟΘΙΑΔΟΣ. Ἦχον ἐκ ῥοθίου ἀποτελούσης.

397. ΒΡΥΧΙΟΝ. Ποταπήν· ἠχητικήν.

398. ΕΚΦΑΝΕΙΣ. Ἔκδηλοι.

399. ΤΟ ΔΕΞΙΟΝ. Οὕτως εἰώθασι σχηματίζειν τὸ στρατόπεδον, κέρας μὲν δέξιον τιθέντες καὶ ἀριστερὸν ἐξ ἑκατέρων τῶν μερῶν· τὸ μεταξὺ δὲ μέτωπον καλοῦντες, τὸ δὲ ὄπισθεν οὐραγίαν· ἣν ἰδιωτικῶς σάκαν καλοῦσιν.

400. ΗΓΕΙΤΟ. Προωδοποίει.

401. ΟΜΟΥ. Τῷ κινεῖσθαι.

404. ΕΔΗ. Τὰ ἀγάλματα.

405. ΘΗΚΑΣ. Τάφους.

407. ΥΠΗΝΤΙΑΖΕ. Συνήντα. ΑΚΜΗ. Καιρός.

408. ΕΥΘΥΣ ΔΕ. Δέον οὕτως εἰπεῖν, εὐθὺς δὲ ναῦς ἐν νηῒ ὥρμησεν, ὁ δὲ ἔπαισεν εἶπεν. Ἐπειδὴ γὰρ ἡ ὁρμὴ αὐτῆς ἐπιτύψει καὶ συγκρούσει νηὸς ἑτέρας ἐγένετο, διὰ τοῦτο ἔπαισεν εἶπε. Χαλκήλατον δὲ στόλον λέγει τὴν ὁρμὴν ἣν μετὰ σιδήρου ἐποιεῖτο· τὰ γὰρ μακρὰ πλοῖα ἔμπροσθεν ἔχουσιν ὡς αἰχμὴν ἀπὸ σιδήρου. Δι' ἧς τοῖς τῶν πολεμίων πλοίοις ἐπιφερόμενα, θραύσιν ἐργάζονται. ΣΤΟΛΟΝ. Πορείαν.

409. ΕΛΛΗΝΙΚΗ. Ὁ τοῦ Θεμιστοκλέους.

411. ΚΟΡΥΜΒ'. Τὰ ἄκρα. ΙΘΥΝΕ. Ἐπέφερεν.

412. ΡΕΥΜΑ. Πλῆθος.

413. ΑΝΤΕΙΧΕΝ. Ἀνθίστατο. ΕΝ ΣΤΕΝΩι. Τῷ μεταξὺ Αἰγίνης καὶ Σαλαμῖνος. ΝΕΩΝ. Τῶν Περσικῶν.

414. ΑΡΩΓΗ Δ' ΟΥΤΙΣ. Οὐ γὰρ εἶχον ποῖ φύγοιεν. ΑΛΛΗΛΟΙΣ. Τοῖς ἐν ταῖς ναῦσι Πέρσαις.

415. ΕΜΒΟΛΑΙΣ. Συγκρούσεσι.

417. ΑΦΡΑΔΜΟΝΩΣ. Ἀνεπιστημόνως.

418. ΕΘΕΙΝΟΝ. Ἐχώρουν.

419. ΣΚΑΦΗ ΝΕΩΝ. Τῶν Περσικῶν.

421. ΧΟΙΡΑΔΕΣ. Θαλάσσιοι πέτραι. ΕΠΛΗΘΥΟΝ. Ἔγεμον.

422. ΗΡΕΣΣΕΤΟ. Ἐχώρει διὰ κωπηλασίας.

424. ΤΟΙ Δ'. Οἱ Ἕλληνες. ΒΟΛΟΝ. Ἄγραν.

425. ΘΡΑΥΣΜΑΣΙΝ Τ' ΕΡΕΙΠΙΩΝ. Συντετριμμένων νεῶν· κυρίως δὲ ἐρείπιον ἐπὶ οἴκου.

426. ΟΜΟΥ. Τῷ συντετρίφθαι.

427. ΠΕΛΑΣΓΙΑΝ. Ἑλληνικήν.

428. ΑΦΕΙΛΕΤΟ. Τὸν πόλεμον.

430. ΣΤΟΙΧΗΓΟΡΟΙΗΝ. Κατὰ τάξιν διηγοίμην.

432. ΤΟΣΟΥΤΑΡΙΘΜΟΝ. Τοσοῦτο καὶ πολὺ καὶ μέγα κατὰ τὸν ἄριθμον. Ἄριθμον τὸ ἀναρίθμητον· ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ἀριθμὸς, ἀάριθμον, καὶ κράσει τῶν δύο αα εἰς α μακρὸν, ἄριθμον.

433. ΕΡΡΩΓΕΝ. Ἐπέπεσε.

435. ΜΕΣΟΥΝ. Τὸ τότε συμβὰν τοῖς Πέρσαις κακὸν διηγούμενος, οὐδέπω τὸ ἡμίσυ διηγησάμην. Ἀλλὰ τοσοῦτόν ἐστι τὸ λεῖπον τῆς διηγήσεως, ὡς δὶς εἶναι τοσοῦτον. Νόει οὖν τὸ μεσοῦν, ἢ ἀπαρέμφατον, ἢ οὐδέτερον.

437. ΤΟΙΣΔΕ. Οἷς εἶπον. ΑΝΤΙΣΗΚΩΣΑΙ. Ἀντιπεσεῖν, ἀντιμετρῆσαι. ΡΟΠΗι. Ἐν βάρει, ἐν καθελκύσει.

440. ΡΕΟΥΣΑΝ. Χωροῦσαν. ΜΑΣΣΟΝΑ. Μείζονα.

441. ΑΚΜΑΙΟΙ. Γενναῖοι.

443. ΕΚΠΡΕΠΕΙΣ. Καὶ ὡραῖοι.

445. ΣΥΜΦΟΡΑΣ. Ἕνεκα.

447. ΝΗΣΟΣ. Ἡ Ψυτταλία ἀπέχουσα Σαλαμῖνος σταδίοις πέντε.

448. ΒΑΙΑ. Μικρά. ΔΥΣΟΡΜΟΣ. Δυσλίμενος. Ο ΦΙΛΟΧΟΡΟΣ. Ὁ τῇ μουσικῇ χοροὺς στάς· τοιοῦτος γὰρ ὁ θεός. Ναὸς δὲ ἦν αὐτοῦ ἐνταῦθα παρ' αἰγιαλῷ.

449. ΕΜΒΑΤΕΥΕΙ. Περιπατεῖ.

451. ΦΘΑΡΕΝΤΕΣ. Ἡττηθέντες. ΕΧΘΡΟΙ. Οἱ Ἕλληνες. ΝΗΣΟΝ. Εἰς τήν-

452. ΕΥΧΕΙΡΩΤΟΝ. Εὐκατάληπτον.

454. ΙΣΤΟΡΩΝ. Σκοπῶν. ΩΣ. Ἐπεί.

455. ΚΥΔΟΣ. Δόξαν, κράτος, ὑπεροχήν.

456. ΑΥΘΗΜΕΡΟΝ. Παραυτίκα. ΔΕΜΑΣ. Σῶμα.

457. ΑΜΦΙ. Περί.

458. ΝΗΣΟΝ. Τὴν Ψυτταλίαν. ΑΜΗΧΑΝΕΙΝ. Αὐτοὺς ὑπὸ τῶν ἐκεῖσε παραγενομένων, καί ποτε μὲν λίθοις πότε δὲ οἰστοῖς αὐτοὺς βαλόντων.

460. ΗΡΑΣΣΟΝΤΟ. Ἐπλήττοντο

461. ΘΩΜΙΓΓΟΣ. Νευρᾶς. ΩΛΛΥΣΑΝ. Ἔφθειρον.

463. ΔΥΣΤΗΝΩΝ. Τῶν Περσῶν.

465. ΒΑΘΟΣ. Μέγεθος, πλῆθος.

466. ΕΥΑΓΗ. Εὐκατάληπτον.

467. ΟΧΘΟΝ. Τὴν αἰγιαλὸν ὡς Ἡρόδοτος φησίν. ΠΕΛΑΣΓΙΑΣ. Τῆς Ἑλληνικῆς.

469. ΠΑΡΑΓΓΕΙΛΑΣ. Προσδραμὼν, πλησιάσας. ΑΦΑΡ. Εὐθέως.

470. ΗΙΞ'. Ὥρμησεν. ΤΟΙΑΝΔΕ. Συμφοράν.

471. ΠΡΟΣ ΤΗι ΠΑΡΟΙΘΕΝ. Ἣι διηγασάμην, ἢ τῇ τῦ Δαρείῳ. ΠΑΡΑ. Πάρεστι. ΣΤΕΝΕΙ. Στενάζει.

472. ΕΨΕΥΣΑΣ. Ψευσθῆναι ἐποίησας τῶν λογισμῶν ἐλπίζοντας ἀκοντὶ πᾶσαν τὴν Ἑλλάδα αἱρήσειν, καὶ μηδένα αὐτοῖς εἰς ὄψιν ἐλθεῖν· μὴ ὅτι μαχέσασθαι.

476. ΠΡΑΞΕΙΝ. Ἀπαιτήσειν.

479. ΤΟΡΩΣ. Ἀκριβῶς.

480. ΝΑΩΝ ΔΕ. Οὗτος ὁ σύνδεσμος συνάφειά ἐστι πρὸς τὴν ἄνω διήγησιν αὐτῦ τῦ ἀγγέλυ, εἰ καὶ διὰ μέσυ ἡ Ἄτοσσα ἀπεκλαύσατο τὴν τῶν Περσῶν δυστυχίαν. ΤΩΝ ΛΕΛΕΙΜΜΕΝΩΝ. Ἐναπολειφθείσων. ΣΥΔΗΝ. Ὁρμητικῶς.

481. ΚΑΤ' ΟΥΡΟΝ. Κατ' εὐθείαν, καθ' ὁρμήν.

483. ΓΑΝΝΟΣ. Εὐφροσύνην.

484. ΠΟΝΟΥΝΤΕΣ. Ταλαιπωρῦντες ὤλλυντο. ΚΕΝΟΙ. Καταβεβλημένοι, χαῦνοι.

487. ΑΡΔΕΙ. Πιαίνει.

488. ΓΗΣ ΑΧΑΙΔΟΣ ΠΕΔΟΝ. Πέδον Ἀχαΐδος ἡ Μονεμβασία ἡ πρὶν λεγομένη Δωρίς.

489. ΘΕΣΣΑΛΩΝ ΠΟΛΙΣΜ'. Ἡ Λάρισσα, ἢ τὰ Φάρσαλα.

492. ΜΑΓΝΗΤΙΚΗΝ. Ἔστι γὰρ ἐν Μακεδονίᾳ πόλις Μαγνησία ὡς φησὶ Δημοσθένης, περὶ τὸν Ὄλυμπον.

493. ΑΞΙΟΥ. Τῦ βαρδάρη ποταμῦ.

494. ΒΟΛΒΗΣ. Λίμνης ἐν αὐτῇ ὔσης Μακεδονίᾳ.

495. ΗΔΟΝΙΔ'. Μακεδονικήν.

496. ΑΩΡΟΝ. Παρὰ καιρὸν, ὐ γὰρ χειμωνικὸς ἦν ὁ καιρός. ΩΡΣΕ. Ἐνέβαλε.

497. ΑΓΝΟΥ. Καθαρῦ.

499. ΓΑΙΑΝ ΟΥΡΑΝΟΝ ΤΕ. Καταχθονίυς καὶ ὐρανίυς θεύς.

500. ΘΕΟΚΛΥΤΟΝ. Παρακαλῶν τὺς θεύς.

502. ΣΚΕΔΑΣΘΗΝΑΙ. Διαχυθῆναι. ΘΕΟΥ. Τῦ Ἡλίυ.

505. ΔΙΗΚΕ. Διῆλθε.

506. ΠΙΠΤΟΝ. Οἱ διὰ τῦ κρυστάλλυ περῶντες τῷ ἡλίῳ διαλυθέντος.

511. ΕΣΤΙΟΥΧΟΝ. Οἰκείαν.

514. ΕΓΚΑΤΕΣΚΗΨΕ. Ἐπεθῆκεν· ἐνέβαλλεν. ΘΕΟΣ. Ἡ τύχη.

515. ΔΥΣΠΟΝΗΤΕ. Δυςυχίας αἴτιε.

517. ΔΙΑΠΕΠΡΑΓΜΕΝΟΥ. Ἠφανισμένε.

520. ΦΑΥΛΩΣ. Ταπεινῶς.

521. ΤΗιΔ᾽. Οὕτως. ΕΚΥΡΩΣΕ. Πρώην. ΦΑΤΙΣ. Ὁ λόγος.

523. ΦΘΙΤΟΙΣ. Τῷ Δαρείῳ δηλονότι.

524. ΠΕΛΑΝΟΝ. Θῦμα.

525. ΕΠ᾽ ΕΞΕΙΡΓΑΣΜΕΝΟΙΣ. Ποιήσω ταῦτα τετελεσμένοις πράγμασι.

526. ΤΟ ΛΟΙΠΟΝ. Θύσω καὶ εὔξομαι. ΛΩιΟΝ. Κρεῖττον.

528. ΠΙΣΤΟΙΣ. Πιςῶς ὤφειλεν εἰπεῖν, ἀλλὰ πρὸς τὸ ὄνομα ἐπήγαγε. Νοεῖται δὲ διπλῶς, ἢ ἐπὶ τοῖς πεπραγμένοις πιςοῖς, ἤτοι τοῖς φανερῶς γεγενημένοις τῷ ςρατῷ ἀτυχήμασιν, ἢ, ἐπὶ τοῖς πεπραγμένοις πιςοῖς ἤτοι τοῖς πρότερον ὑφ᾽ ὑμῶν γεγενημένοις πιςῶς πρὸς ἡμᾶς ἔργοις. Ὃ καὶ κρεῖττον. Καὶ μαρτυρεῖ τὸ πιςὰ ξυμφέρειν βελεύματα, ἑρμηνεύει δὲ τὰ βελεύματα τὸ παραμυθεῖσθαι τὸν Ξέρξην, εἰ πρὸ αὐτῆς καταλαβῇ, λέγεσα ὡς ἀπ᾽ ἄλλης ἀρχῆς ἔτως, καὶ παῖδ᾽ ἐάν περ, καὶ τὰ ἑξῆς.

530. ΠΑΡΗΓΟΡΕΙΤΕ. Παραμυθεῖσθε.

531. ΠΡΟΣΘΗΤΕ ΚΑΚΟΝ. Αἰτιώμενοι τῦτον ὡς τοσῦτον ἀπολωλεκότα ςρατόν.

534. ΟΛΕΣΑΣ. Γρ. ὤλεσας, ὅπερ εἰ εἴπῃς, κομματικὸν ἐκφέρεις τὸ λοιπόν.

536. ΠΕΝΘΕΙ. Κλαυθμῷ. ΔΝΟΦΕΡΩι. Σκοτεινῷ.

537. ΠΟΛΛΑΙ. Γυναῖκες τῶν Περσῶν. ΑΠΑΛΑΙΣ. Νεωτερικαῖς. ΚΑΛΥΠΤΡΑΣ. Τὰ τῆς κεφαλῆς σκεπάσματα.

538. ΚΑΤΕΡΕΙΚΟΜΕΝΑΙ. Σχίζεσαι καὶ ἀποκόπτεσαι. Ἐρείκη εἶδος φυτῦ ὅπερ ἐςὶν εὔσχιςον, ἀπὸ τέτε δὲ καὶ τὸ κατερεικόμεναι γίνεται. ΔΙΑ ΜΥΔΑΛΕΟΙΣ. Τὸ διὰ ὑπερβατῶς πρὸς τὸ τέγγεσι συντακτέον.

539. ΚΟΛΠΟΥΣ. Τῶν ἱματίων.

540. ΤΕΓΚΟΥΣΙΝ. Βρέχεσι.

541. ΑΙ Δ᾽. Ἄλλαι δέ. ΑΒΡΟΓΟΟΙ. Πολύκλαυτοι.

542. ΑΡΤΙΖΥΓΙΑΝ. Τὴν ἐκ νέε συνάφειαν.

543. ΑΒΡΟΧΙΤΩΝΑΣ. Πολυτελεῖς ἔχεσας χιτῶνας. Τοιαῦται γὰρ αἱ τῶν Περσῶν.

544. ΤΕΡΨΙΝ. Συνεσίαν.

545. ΓΟΟΙΣ. Ἐν.

547. ΑΙΡΩ. Φέρω. ΔΟΚΙΜΩΣ. Λαμπρῶς. Τετέςιν, ἐ περὶ τῶν ἀποθανόντων ἀμελῶς διακεῖμαι, ἀλλὰ τέτων μόρον βαςάζω λαμπρῶς πολυδάκρυτον, ἀντὶ τῦ θρηνῦ πολλῦ ἄξιον.

549. ΕΚΚΕΝΟΥΜΕΝΑ. Τῶν κατοίκων.

550. ΠΟΠΟΙ. Πόποι καὶ τότοι ἐπιῤῥήματα σχετλιαςικά· ποποῖ δὲ καὶ τοτοῖ δηλῦντα τὸ πῦ καὶ τὸ ἐκεῖσε. Εἰ μὲν εἴποις ἐνταῦθα ποποῖ καὶ τοτοῖ, ἔτω συντάξεις, Ξέρξης μὲν γὰρ ἤγαγε τὸν ἐκκενωθέντα τῆς Ἀσίας λεὼν πῦ, ἤτοι εἰς Ἀθήνας. Ξέρξης δὲ ἀγαγὼν τοτοῖ καὶ ἐκεῖσε ἀπώλεσεν. Εἰ δὲ πόποι καὶ τότοι γράψεις, ἔτως εἴποις, Ξέρξης μὲν γὰρ ἤγαγεν εἰς τὰς Ἀθήνας δηλονότι· εἶτα

θρηνητικῶς ἐκφέροις, πόποι καὶ φεῦ. Τὸ αὐτὸ δὲ καὶ παρακατιὼν νοήσεις τὸ, νῆες μὲν ἄγαγον ποποῖ, νῆες δ' ἀπώλεσαν τοτοῖ.

552. ΕΠΕΣΠΑΣΕ. Τὰ κακὰ δηλονότι. ΔΥΣΦΡΟΝΩΣ. Κακοφρόνως.

553. ΒΑΡΙΔΕΣΣΙ. Ναυτὶν, ἀπὸ Βάρεως πόλεως Περσῶν καλȣμέναις. Λέγει δὲ καταχρηςικῶς ἀπὸ μέρȣς. Οὐ γὰρ ἦσαν πᾶσαι αἱ Ξέρξȣ νῆες βαρίδες, ἀλλὰ ἄλλαι καὶ ἄλλαι.

554. ΔΑΡΕΙΟΣ. Τȣ̃το διὰ μέσȣ εἶπε, παραβάλλων τὸ τȣ̃ Δαρείȣ πρώην ἐν Μαραθῶνι δυςύχημα πρὸς τὸ νῦν ἐν Σαλαμῖνι συμβὰν Ξέρξῃ. Καὶ τῇ ὑπερβολῇ τέτȣ ἀβλαβῆ τὸν Δαρεῖον λέγων, ὁ μὲν γὰρ μ' μυριάδας ἀπώλεσε, Ξέρξης δὲ φ'· καὶ ὁ μὲν εἵπετο τῷ ςρατῷ καὶ παραχρῆμα ἂν ἀπολώλει. Δαρεῖος δὲ Δάτιν τὸν ςρατηγὸν ἔπεμψεν.

556. ΤΟΞΑΡΧΟΣ. Ἡγεμὼν τῶν τοξικωτάτων Περσῶν.

557. ΑΚΤΩΡ. Ἡγεμών.

558. ΠΕΖΟΥΣ ΤΕ. Ἐπειδὴ τὸ τί ποτε διὰ μέσȣ εἶπε, πάλιν φησὶ, πεζȣ́ς τε γὰρ ὁ Ξέρξης κατὰ γῆν ἤγαγε δηλονότι, τȣ̀ς δὲ ἄλλȣς αἱ νῆες. Εἰπὼν δὲ πεζȣ̀ς καὶ θαλασσίȣς, πρὸς μὲν τȣ̃το ἐπήγαγε τὸ νῆες, τὸ δὲ πεζȣ̀ς ἀφῆκε νοεῖσθαι. Πεζοὶ γάρ εἰσιν οἱ κατὰ γῆν ὁδεύοντες. Καὶ μαρτυρȣ̃σι Ξενοφῶν καὶ Θȣκυδίδης, καὶ πᾶν τὸ τῶν συγγραφέων ἔθνος.

559. ΑΙ Δ'. Αὗται αἱ ἄγȣσαι ἐκεινȣ́ς εἰσιν. ΟΜΟΠΤΕΡΟΙ. Αἱ μεθ' ἑαυτῶν πτεροῖς χρώμενοι, τοῖς λαίφεσι. ΚΥΑΝΩΠΙΔΕΣ. Μέλαιναι.

563. ΙΑΟΝΩΝ. Ἀθηναίων. Εἰπὼν ὡς νῆες ἀπώλεσαν τȣ̀ς Πέρσας ἐν ἐμβολαῖς πανωλέθροις, νῦν ὥσπερ ἑρμηνεύων τὰς πανωλέθρȣς ἐμβολὰς, φησὶν, ὡς ȣ̓κ ἄλλοθέν ποθεν ἐγεγόνεισαν ἀλλ' ἢ ἀπ' Ἀθηναίων. Οὗτοι γάρ εἰσιν Ἴωνες, καὶ γὰρ οἱ εἰς τὴν Ἀσίαν ἀποικισάντες καὶ καλȣ́μενοι Ἴωνες, Ἀθηναῖοι ἦσαν, ἀπὸ Ἴωνος τȣ̃ ἡγησαμένȣ σφισὶν ὀνομασθέντες. Σύνταξον δὲ ȣ̔́τως, ὡς νῆες μὲν ἀπώλεσαν αὐτȣ̀ς ἐν πανωλέθροις ἐμβολαῖς, διὰ δὲ τῶν Ἰώνων ἐγένοντο αὗται αἱ συμβολαὶ, ὥςε καὶ αὐτὸν τὸν Ξέρξην μόλις τὰς αὐτῶν χεῖρας φυγεῖν ὡς ἀκȣ́ομεν.

564. ΤΥΤΘΑ. Μόλις. ΕΚΦΥΓΕΙΝ. Ὥςε.

566. ΑΜΠΕΔΙΗΡΕΙΣ. Ἀνὰ τὰς καμπωδεῖς.

567. ΚΕΛΕΥΘΟΥΣ. Ὁδȣ́ς.

568. ΤΟΙ Δ' ΑΡΑ. Ἐκεῖνοι δὲ ȣ̔̃ς ἄνωθεν ἔφαμεν. ΠΡΩΤΟΜΟΡΟΙ. Ὑπῆρξαν.

569. ΛΕΙΦΘΕΝΤΕΣ. Ἐναπομείναντες, ἢ κρατηθέντες. ΑΝΑΓΚΑΝ. Βίαν.

570. ΚΥΧΡΕΙΑΣ. Τὰς τῆς Σαλαμῖνος, ἐκαλεῖτο γὰρ ȣ̔́τω.

572. ΔΑΚΝΑΖΟΥ. Ἤτοι δάκνȣ κατὰ παραγωγήν.

574. ΟΥΡΑΝΙ'. Μεγάλα, ὑπερβολικά.

575. ΤΕΙΝΕ. Εἰς ὕψος αἶρε. ΔΥΣΒΑΥΚΤΟΝ. Δύσφημον.

576. ΒΟΑΤΙΝ. Βοηθητικήν. ΤΑΛΑΙΝΑΝ. Δυςυχῆ. ΑΥΔΑΝ. Φωνήν.

577. ΓΝΑΠΤΟΜΕΝΟΙ. Κατακοπτόμενοι. Δ' ΑΛΙ ΔΕΙΝΑι. Τȣ̃το πρὸς τὸ ἄνω συνάπτεται ἀλλήλȣς πρὸς θρῆνον τῶν τȣ̃ χορȣ̃ ἐπαιρȣ́ντων διὰ μέσȣ. Τὸ δὲ

δεινῇ ἢ ἀντὶ φοβερᾷ, τοιαύτη γὰρ ἡ θάλασσα, ἢ δεινὴν αὐτὴν λέγει διὰ τὸ πολλῶν δεινῶν ἐν αὐτῇ Πέρσας τετυχηκέναι. Τὸ δὲ ΑΝΑΥΔΩΝ ἀντὶ τῶ ἀφώνων ἰχθύων οἵτινές εἰσι παῖδες τῆς ΑΜΙΑΝΤΟΥ καὶ καθαρᾶς καὶ ἀθολώτω θαλάσσης.

580. ΔΟΜΟΣ. Εἷς ἕκαστος. ΣΤΕΡΗΘΕΙΣ. Τούτου.

583. ΔΑΙΜΟΝΙ' ΑΧΗ. Μεγάλα καὶ ἐκ δαίμονός τινος ἐπελθόντα δυσκόλου.

584. ΓΕΡΟΝΤΕΣ. Ἡμεῖς δηλονότι· λέγει δὲ εἰς τρίτον πρόσωπον.

585. Ο ΠΑΝ ΔΗ. Τὸ συμβὰν ἐν Ἀθήναις τοῖς Πέρσαις.

586. ΤΟΙ Δ'. Οἱ θανόντες οὗτοι. ΔΗΝ. Τὸ δὴν ἀντὶ τοῦ ἐπιπολύ. Ἐνταῦθα δὲ οὕτω κεῖται, ὥσπερ ἂν εἰ μηδ' ὁποσοῦν ἐκεῖτο. Οἱ γὰρ ἐν Ἀθηναῖς ἀπολωλότες τῶν Περσῶν οὔτε ἐπιπολὺ κατὰ τὴν Περσίδα περσονομοῦνται, οὔτε τὴν ἀρχὴν ὅλως, ἀπώλοντο γάρ.

587. ΠΕΡΣΟΝΟΜΟΥΝΤΑΙ. Κατὰ τοὺς Περσῶν νόμους διάγουσιν, ἀπώλοντο γάρ.

588. ΔΑΣΜΟΦΟΡΟΥΣΙ. Τέλη φέρουσι τοῖς δεσπόταις αὐτῶν.

590. ΕΣ ΓΑΝ ΠΡΟΣΠΙΠΤΟΝΤΕΣ. Ἤτοι προσκυνοῦντες τὸν αὐτῶν βασιλέα.

591. ΑΡΞΟΝΤΑΙ. Ἀρχθήσονται.

592. ΙΣΧΥΣ. Τὸ μέγεθος.

594. ΦΥΛΑΚΑΙΣ. Συντηρήσεσι.

596. ΩΣ ΕΛΥΘΗ. Ἐπεὶ ἐλευθερώθη.

597. ΑΙΜΑΧΘΕΙΣΑ. Φονευθέντων τῶν Περσῶν καὶ αἵματος ἐντεῦθεν ῥυέντος.

598. ΠΕΡΙΚΛΥΣΤΑ. Περίῤῥυτος.

599. ΤΑ ΠΕΡΣΩΝ. Σώματα.

Γ'.

600. ΕΜΠΕΙΡΟΣ. Συνήθης· μέτοχος.

601. ΕΠΙΣΤΑΣΟ. Γράφεται καὶ ἐπίστασο καὶ ἐπίσταται. Καὶ τὸ μὲν ἐπίστασο οὕτως, εἰποῦσα ἡ Ἄτοσσα πληθυντικῶς πρὸς πάντα τὸν χορὸν ὦ φίλοι, μεριστικῶς ἐκφέρει πρὸς ἕνα ἕκαστον. Λέγουσα, ὦ φίλοι, ἐπίστασο ὅτι φιλεῖ καὶ εἴωθεν ἐκεῖνος ὁ ἄνθρωπος ὅστις ἔμπορος καὶ μέτοχος καὶ συνήθης ἐστι κακῶν, πάντα δειμαίνειν καὶ φοβεῖσθαι ὅταν ἐπέλθῃ τοῖς βροτοῖς κλύδων καὶ χειμὼν κακῶν, τουτέστιν, ὁ δυστυχίᾳ κατεσχηκὼς, ὅταν ἕτερόν τινα ἴδῃ δυστυχοῦντα, αὐτὸς δυστυχεῖν οἴεται, οἰκεῖα λογιζόμενος τὰ πάθη. Εἰ δὲ ἐπίσταται εἴπῃς, συντάξεις πρὸς τὸ ὅστις ἔμπορος κυρεῖ· ἔστι δὲ ψυχρὸν, τὸ γὰρ πρῶτον κρεῖττον τοῦ δευτέρου. ΩΣ. Ὅτι.

602. ΦΙΛΕΙ. Εἴωθεν ἐκεῖνος ὁ ἄνθρωπος.

603. ΕΥΡΟΗι. Εἰς ἕτερον.

604. ΤΟΝ ΑΥΤΟΝ. Τὸν ὅμοιον. ΟΥΡΙΕΙΝ. Εὐθυδρομεῖν αὐτῷ.

606. Τ'ΑΝΤΑΙΑ. Ἐνάντια καὶ δυστυχῆ ἃ τοῖς ἀνθρώποις οἱ θεοὶ ἐπιφέρουσιν.

607. ΕΝ ΩΣΙ. Τοῖς ἐμοῖς. ΟΥ ΠΑΙΩΝΙΟΣ. Οὐ χαρᾶς ποιητικὸς ἀλλὰ λύπης.

608. ΕΚΠΛΗΞΙΣ. Ὑπερβολὴ εἰς ἔκστασιν φέρουσα τοὺς ἀκούοντας.

609. ΟΧΗΜΑΤΩΝ. Ζεύγους.

610. ΧΛΙΔΗΣ ΤΕ ΤΗΣ ΠΑΡΟΙΘΕΝ. Τρυφῆς καὶ θεραπείας τῆς ἀρχαίας.

611. ΕΣΤΕΙΛΑ. Ἐποιησάμην. ΕΥΜΕΝΕΙΣ. Εἰς συμπάθειαν καὶ εὐμένειαν ἡμῶν ἐπικαλεμένας ἐκεῖνον.

612. ΜΕΙΛΙΚΤΗΡΙΑ. Θελκτήρια. Δέον δὲ εἰπεῖν ἅπερ πρὸς τὸ μειλικτήρια ἐπήγαγεν.

613. ΑΓΝΗΣ. Λευκῆς· ἢ, διὰ τὸ τοῖς θεοῖς εἰς θυσίαν παραλαμβάνεσθαι, ἀπὸ τέτε καὶ αὐτὴν καταχρηστικῶς ἁγνὴν καλεῖ, ἢ, ἁγνῆς τῆς ἀγελαίας παρόσον αὗται τροφῆς καθαρωτάτης καὶ ποτε ἀπολαμβάνεσιν· ἢ, ἁγνῆς τῆς καθαρᾶς καὶ ἀμετόχε σωματικῆς νόσε.

614. ΤΗΣ Τ' ΑΝΘΕΜΟΥΡΓΟΥ. Τῆς ἐξ ἀνθέων ἐργαζομένης μελίσσης. ΠΑΜΦΑΕΣ. Λαμπρὸν, καθαρόν.

615. ΛΙΒΑΣΙΝ. Σταλαγμοῖς. ΠΑΡΘΕΝΟΥ. Ἀμολύντε καὶ καθαρᾶς, διὰ τὸ τοῖς θεοῖς εἰς θυσίαν συμπαραλαμβάνεσθαι.

616. ΑΓΡΙΑΣ. Ὀρεινῆς. Ἢ, τῆς ἀγριοποιέσης τὲς ἀμέτρως αὐτῆς πίνοντας τὸ στόμα.

617. ΓΑΝΟΣ. Εὐφροσύνη. Εὔφραινον τὲς συμπίνοντας.

618. ΑΙΕΝ ΕΝ ΦΥΛΛΟΙΣΙ. Ἤτοι αἰεὶ θαλλέσης.

619. ΞΑΝΘΗΣ. Κατὰ τὸ χρῶμα.

622. ΕΠΕΥΦΗΜΕΙΤΕ. Ἐπᾴδετε.

623. ΓΑΠΟΤΟΥΣ. Ἀντὶ ἃς ἡ γῆ πίνει χεομένας χοάς.

624. ΝΕΡΤΕΡΟΙΣ ΘΕΟΙΣ. Τῷ Πλέτωνι καὶ τῇ Περσεφόνῃ καὶ τῷ Ἑρμῇ.

625. ΠΡΕΣΒΑ. Ἔντιμε.

626. ΘΑΛΑΜΟΥΣ. Εἰς τὲς ὑπὸ γῆς κευθμῶνας.

628. ΠΟΜΠΟΥΣ. Ἀγωγές.

629. ΕΥΦΡΟΝΑΣ. Εὐμενεῖς.

631. ΒΑΣΙΛΕΥ. Αἰδωνεῦ. ΕΝΕΡΩΝ. Νεκρῶν.

632. ΕΝΕΡΘΕΝ. Ὑπὸ τῶν κάτω. ΨΥΧΗΝ. Τὴν τε Δαρείε.

633. ΟΙΔΕ. Ὁ Δαρεῖος. ΠΛΕΟΝ. Ἢ ἕτερός τι ἂν εἰπεῖν ἔχῃ.

635. Η Ρ' ΑΙΕΙ. Ἆρα ἀκέει.

636. ΙΣΟΔΑΙΜΩΝ. Ἰσόθεος.

637. ΣΑΦΗΝΗ. Δῆλα αὐτῷ.

638. ΙΕΝΤΟΣ. Πέμποντος. ΤΑ ΠΑΝΑΙΟΛ'. Τὰ ποικίλα τῷ θρήνῳ.

639. ΑΙΑΝΗ. Ἀχλύος γέμοντα. ΒΑΓΜΑΤΑ. Φωνήματα.

640. ΠΑΝΤΑΛΑΙΝ'. Πανάλθια. Δεῖ πανταλαίνε εἶναι, ἢ παντάλαινα. Εὕρηται δὲ ἐν πολλοῖς καὶ καλοῖς βιβλίοις ἕτω, καὶ μὴ οἰήθη τις παντάλαινα εἶναι ἄξιον γράφεσθαι.

644. ΜΕΓΑΛΑΡΧΗ. Μεγαλοδυνάμενον.

645. ΙΟΝΤ'. Ἐλθόντα. Δέον ἰέναι εἰπεῖν πρὸς μετοχὴν ἐξήνεγκεν. ΑΙΝΕΣΑΤ'. Θελήσατε, ἀποδέξασθε. ΕΚ ΔΟΜΩΝ. Τῶν ὑπὸ γῆν.

646. ΣΟΥΣΙΓΕΝΗ. Τὸν ἐν Σέσοις γεννηθέντα.

647. ΠΕΜΠΕΤΕ Δ' ΑΝΩ. Δι' ἱκεσίων.

649. Η. Ὄντως. Η. Ὄντως. ΟΧΘΟΣ. Τάφος.

650. ΚΕΚΕΥΘΕΝ. Ἔκρυψεν.

653. ΟΙΟΝ ΑΝΑΚΤΑ. Τὸν μέγαν ἢ, τὸν μόνον τῷ ὄντι βασιλέα. ΔΑΡΕΙΑΝ. Οὐ μόνον Δαρεῖος ἀλλὰ καὶ Δαρειὰν γράφεται.

656. ΘΕΟΜΗΣΤΩΡ. Θεὸς κατὰ τὰς βελάς.

657. ΕΣΚΕΝ. Ὑπῆρχεν.

658. ΕΠΩΔΩΚΕΙ. Διώκει.

659. ΒΑΛΗΝ. Βασιλεὺς κατὰ Θερίων γλῶσσαν ὡς φησὶν Ἐφορίων.

661. ΚΟΡΥΜΒΟΝ. Ἐξοχήν.

662. ΟΧΘΟΥ. Τȣ̃ τάφȣ. ΚΡΟΚΟΒΑΠΤΟΝ. Πορφυρȣ̃ν.

663. ΕΥΜΑΡΙΝ. Εἶδος ὑποδήματος. ΑΕΙΡΩΝ. Κινῶν.

664. ΤΙΑΡΑΣ. Στεφάνȣ.

665. ΦΑΛΑΡΟΝ. Τὴν ἐξοχήν. ΠΙΦΑΣΚΩΝ. Φαίνων.

666. ΒΑΣΚΕ. Ἐλθέ. ΑΚΑΚΕ. Πρᾶε.

667. ΟΠΩΣ. Ἵνα. ΚΑΙΝΑ. Παράδοξα.

669. ΔΕΣΠΟΤΟΥ. Τȣ̃ Ξέρξȣ.

670. ΣΤΥΓΙΑ. Μισητή.

671. ΠΕΠΟΤΑΤΑΙ. Ἐπικρέμαται τοῖς ὄμμασιν ἡμῶν.

672. ΝΕΟΛΕΑ. Ἡ νεότης.

678. ΔΙΔΥΜΑ. Διπλᾶ. Δίδυμα λέγει διὰ τὸ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἁλῶναι Πέρσας. Τὰ ΔΑΜΑΡΤΙΑ δὲ, διαμάρτιά ἐστι, καὶ κατὰ συναίρεσιν γέγονε δαμάρτια.

681. ΕΞΕΦΘΙΝΘ'. Ἐφθάρησαν. ΤΡΙΣΚΑΛΜΟΙ. Τριήρεις.

Δ΄.

683. Ω ΠΙΣΤΑ ΠΙΣΤΩΝ. Ὥσπερ φάμεν κάλλιστοι καλλίστων βȣλόμενοι μεγίστην ὑπεροχὴν δηλῶσαι, τοιȣ̃τόν ἐστι καὶ τὸ νῦν τὸ πιστὰ πιστῶν. Δηλοῖ δὲ ἐντεῦθεν τὴν θαυμασίαν καὶ μεγίστην αὐτῶν πίστιν, ἣν πρὸς αὐτὸν ζῶντα ἐκέκτηντο καὶ θανόντα ἔχȣσιν.

685. ΚΕΚΟΠΤΑΙ. Ἠφάνισται. ΧΑΡΑΣΣΕΤΑΙ. Διασχίζεται τοῖς θρήνοις.

686. ΑΚΟΙΤΙΝ. Ὁμόζυγον.

687. ΤΑΡΒΩ. Ἐκπλήττομαι. ΠΡΕΥΜΕΝΕΙΣ. Συμπαθὴς καὶ ἵλεως.

689. ΟΡΘΙΑΖΟΝΤΕΣ. Ἠχȣ̃ντες.

690. ΟΥΚ ΕΥΕΞΟΔΟΝ. Τὸ πρὸς ἡμᾶς ἐλθεῖν. Ἤγȣν ȣ̓κ ἔστιν ἐξ ᾅδȣ πρὸς τὸ φῶς ὁδὸς ῥάστη.

694. ΑΠΕΜΠΤΟΣ Ω ΧΡΟΝΟΥ. Ἵνα μὴ μέμψησθε ἐμοὶ τῆς ἀργείας. Μὴ λάβῃς δὲ ἔξωθεν τὸ ἕνεκα, ἀλλ' ȣ̓́τως σύνταξον, ἵνα ὦ ἄμεμπτος τȣ̃ χρόνȣ, ἤγȣν ἵνα μὴ παρ' ὑμῶν λάβω μέμψιν χρόνȣ.

695. ΝΕΟΧΜΟΝ. Νέον. ΕΜΒΡΙΘΕΣ. Μέγα.

696. ΣΕΒΟΜΑΙ. Ὑποστέλλομαι. ΠΡΟΣΙΔΕΣΘΑΙ Σε.

698. ΑΡΧΑΙΩι. Ὦι πάλαι πρός σε ἐχρῶμεν. ΤΑΡΒΕΙ. Αἰδοῖ, φόβῳ, ὑποστολῇ.

700. ΜΑΚΕΣΤΗΡΑ. Μακρόν.

701. ΠΑΝΤΑ. Ἃ βέλει. ΤΗΝ ΕΜΗΝ ΑΙΔΩ. Ἤγυν τὴν πρὸς ἐμὲ ὑποστολήν.

702. ΔΕΙΟΜΑΙ ΜΕΝ. Ὀκνῶ τὸ σὸν θέλημα τελέσαι. Τὸ δέ ἐστι, μὴ ἔχειν ἐμὲ πρός σε ὑποστολήν. Ὀκνῶ δὲ λόγον πρός σε ἆραι, ἐπειδὴ μέλλω λέξειν δύσλεκτα καὶ κακόφημα καὶ δυστυχῆ τοῖς φίλοις, ἤτοι ὑπὲρ τῦ σῦ υἱῦ.

706. ΠΑΛΑΙΩΝ ΣΩΝ ΦΡΕΝΩΝ. Παλαίων φρενῶν τῶν πάλαι προσόντων σοι ὑπὲρ τῆς ἐμῆς αἰδῦς λογισμῶν.

708. ΑΝΘΡΩΠΕΙΑ. Ὑπάρχυσι. ΠΗΜΑΤΑ. Αἱ δυστυχίαι. ΒΡΟΤΟΙΣ. Διὸ μὴ ὑποσταλεῖσα λέγεις.

710. ΜΑΣΣΩΝ. Μείζων. ΒΙΟΤΟΣ. Αὐτῶν. ΤΑΘΗι. Προέλθῃ.

711. ΥΠΕΡΣΧΩΝ. Ὑπερβαλλόμενος. ΟΛΒΟΝ. Εὐδαιμονίαν. ΠΟΤΜΩι. Τύχῃ.

712. ΕΩΣ. Μέχρις.

714. ΒΑΘΟΣ. Πέλαγος.

715. ΠΑΝΤΑ. Ὃν βέλει.

717. ΤΙΝΙ ΤΡΟΠΩι. Διαπεπόρθηται. ΤΙΣ ΗΛΘΕ ΣΚΗΠΤΟΣ. Ἤγυν ἐπήλυσις δίκην σκήπτυ ἐπιῦσα. ΣΚΗΠΤΟΣ. Ἀφανισμός. ΣΤΑΣΙΣ. Μάχη.

719. ΤΙΣ Δ' ΕΜΩΝ. Οὐ γὰρ μόνον τὸν Ξέρξην Δαρεῖος εἶχεν υἱὸν ἀλλὰ καὶ ἄλλυς.

720. ΘΟΥΡΙΟΣ. Ὁρμητικὸς πρὸς πόλεμον.

721. ΠΕΙΡΑΝ. Ἔργον. Τὸ πεῖραν τήνδ' ἐμώρανε τάλας εἰς ἀμφότερα λάμβανε, εἴς τε τὸ πεζὸς καὶ εἰς τὸ ναύτης. Μωρία γὰρ ἦν ἀληθῶς τὸ πᾶσαν τὴν Ἀσίαν κένωσας ἀνδρῶν. ΕΜΩΡΑΝΕ. Μετὰ μωρίας ἐποίησε.

722. ΔΙΠΛΟΥΝ ΜΕΤΩΠΟΝ. Ἀφελὴς δοκεῖ ἡ τοιαύτη ἀπόκρισις, ἐπειδὴ γὰρ δύο στρατεύματα ἔμελλεν εἰπεῖν, περιττὸν ἦν τὸ διπλῦν μέτωπον. Ἀνάγκη γὰρ τὰ δύο στρατεύματα καὶ δύο μέτωπα ἔχειν. ΔΥΟΙΝ. Τῷ πεζῷ καὶ τῷ ναυτικῷ.

723. ΗΝΥΣΕ. Ἐδυνήθη, ἴσχυσεν.

726. ΠΟΥ. Ἴσως. ΔΑΙΜΟΝΩΝ. Ἔφορος κακῶν. ΣΥΝΗΨΑΤΟ. Συνεπελάβετο.

727. ΜΕΓΑΣ ΤΙΣ ΗΛΘΕ. Εἰπύσης Ἀτόσσης ὡς τῆς τοιαύτης βυλῆς θεός τις ἔφορος κακῶν αὐτῷ συνήψατο, καὶ πρὸς αὐτὴν ὥρμησε, θέλων αὐτὸν ἀπολέσαι, σχετλιάζων ὁ Δαρεῖός φησι, μέγας τις δαίμων ἐπῆλθεν αὐτῷ, τυτέστιν ὁ ἐνσκήψας αὐτῷ βάσκανος δαίμων μέγας καὶ δεινὸς ἦν, ὥστε μὴ φρονεῖν τὸν Ξέρξην καλῶς, μετατρέπων αὐτῦ τὸν νῦν, καὶ ἃ αὐτὸν εἰς δυστυχίαν βαλεῖν ἔμελλε ταῦτα ποιῶν αὐτὸν βυλεύεσθαι. ΗΛΘΕ. Τῷ Ξέρξῃ. ΦΡΟΝΕΙΝ. Αὐτόν.

728. ΩΣ ΙΔΕΙΝ. Ναὶ μέγας. ΗΝΥΣΕ. Ἔπραξεν περὶ αὐτόν.

729. ΠΡΑΞΑΣΙΝ. Παθῦσι.

730. ΝΑΥΤΙΚΟΣ ΣΤΡΑΤΟΣ. Τυτέστιν, ἀπολωλεκότες Ἕλληνες πρῶτον τὸ

ναυτικὸν Ξέρξου, ὕστερον ἐπὶ τὸ πεζὸν ὥρμησαν, δειλίᾳ κατασχεθὲν ὑπὸ τῆς τοῦ ναυτικοῦ συμφορᾶς. Ὥστε ἐπειδὴ πρῶτον αὐτοὶ ἀπώλλοντο, καὶ τοὺς ἐν γῇ ἀπώλεσαν, φόβον εἰς αὐτοὺς ἐμβαλόντες ἐν ταῖς αὐτῶν συμφοραῖς, ὡς μετ' ὀλίγον αὐτοὶ ἀπολεσθήσονται. ΚΑΚΩΘΕΙΣ. Ἡττηθεὶς, δυστυχήσας.

731. ΠΑΜΠΗΔΗΝ. Παντελῶς. ΔΟΡΙ. Τῶν Ἑλλήνων.

732. ΠΡΟΣ ΤΑΔ'. Ναί. ΩΣ. Ὥστε.

733. Ω ΠΟΠΟΙ ΚΕΔΝΗΣ ΑΡΩΓΗΣ. Φεῦ ἕνεκα τῶν καλλίστων καὶ γενναιοτάτων ἀνδρῶν οὓς ἀπώλεσε. Τὸ γὰρ κεδνῆς ἀρωγῆς καὶ ἐπικουρίας στρατοῦ οὐδὲν ἄλλο ἐστιν ἢ τῶν φρονιμωτάτων καὶ πολεμικωτάτων ἀνδρῶν. Ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ καὶ τὸ οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσεν, ὃ προϊὼν λέγει.

734. ΠΑΝΩΛΗΣ. Πανώλεθρος. ΓΕΡΩΝ. Ἔρρει, ἀλλὰ πᾶσα ἡ νεότης.

736. ΜΟΝΑΔΑ ΔΕ. Μεμονωμένον· τοῦτο δὲ λέγει οὐχ ὡς μόνου Ξέρξου σωθέντος, ἀλλ' ἐπειδὴ μετ' ὀλίγων πάνυ ὑπέστρεφε, διὰ τοῦτο μονάδα φησὶν ὁ ἄγγελος.

737. ΠΟΙ ΤΕΛΕΥΤΑι. Ἀπολέλειπται ἐκεῖνος. ΣΩΤΗΡΙΑ. Αὐτῷ.

738. ΑΣΜΕΝΟΝ ΜΟΛΕΙΝ. Φησὶν ὁ ἄγγελος. ΕΝ ΔΥΟΙΝ ΖΕΥΚΤΗΡΙΑΝ. Ἤτοι τὸ ἐν Ἀσίᾳ καὶ Εὐρώπῃ ζεῦγμα. Τὸν γὰρ Ἑλλήσποντος ὅστίς ἐστιν ὅρον τῶν δύο ἠπείρων ἔζευξεν.

739. ΤΗΝΔΕ. Τὴν Ἀσίαν. ΕΤΗΤΥΜΟΝ. Ἀληθές ἐστι.

740. ΣΑΦΗΝΗΣ. Ἀληθής. ΣΤΑΣΙΣ. Ἀμφιβολία.

741. ΤΑΧΕΙΑ Γ' ΗΛΘΕ ΧΡΗΣΜΩΝ ΠΡΑΞΙΣ. Ταχέως ἐπράχθησαν οἱ χρησμοὶ οὓς αὐτὸς ζῶν ἐδεξάμην.

742. ΤΕΛΕΥΤΗΝ. Τέλος.

743. ΗΥΧΟΥΝ. Ἐθάῤῥουν. ΕΚΤΕΛΕΥΤΗΣΑΙ. Ἐκτελέσαι.

744. ΣΠΕΥΔΗι. Πρὸς τὸ κακὸν ἢ πρὸς τὸ καλόν. Τὸ ἐὰν σπεύδῃ τις εἰς κακὸν καὶ ὁ θεὸς συνάπτεται αὐτῷ τῆς σπουδῆς. Τὸ δὲ ΝΕΩι ἀντὶ τοῦ νηπιώδει, ἢ τὸ ΤΑΔΕ ἀντὶ τοῦ τὰ παρόντα κακά. Ὅπερ εἰ οὕτως εἴποις, νοήσεις τὸ ΟΥ ΚΑΤΕΙΔΩΣ οὕτως ἀντὶ τοῦ οὐ γινώσκων. Τὸ ἐάν τις πρὸς τὸ κακὸν σπεύδῃ καὶ ὁ θεὸς αὐτῷ τῆς σπουδῆς συνάπτεται, ἤνυσε τὰ παρόντα κακά.

747. ΙΡΟΝ. Θεῖον. ΔΟΥΛΟΝ ΩΣ. Τοὺς γὰρ δούλους δεσμοῦσιν οἱ δεσπόται.

748. ΣΧΗΣΕΙΝ. Καθέξειν, κυριεύσειν. ΡΕΟΝΤΑ ΒΟΣΠΟΡΟΝ. Ἑλλήσποντον καὶ Βόσπορον τὸν αὐτὸν καλεῖ, ἀπὸ μὲν τῆς Ἕλλης Ἑλλήσποντον, ἀπὸ δὲ τῆς Ἰοῦς βοὸς γενομένης, Βόσπορον, τὸ δὲ ΘΕΟΥ ἤτοι τοῦ Ἑλλησπόντου, ὥσπερ ἀρτίως καὶ ἱερὸν ἐκάλεσε, διὰ τὸ πολλὰς καὶ καλλίστας νήσους αὐτὸν περιέχειν, καὶ εἶναι ἐν αὐτῷ τοὺς Ἕλληνας.

749. ΠΟΡΟΝ. Τὴν θαλασσίαν ὁδόν. ΜΕΤΕΡΡΥΘΜΙΖΕ. Μετέβαλεν εἰς γῆν. ΠΕΔΑΙΣ. Ταῖς ἀλύσεσιν αἷς συνέδησε τὰς ναῦς.

750. ΗΝΥΣΕ. Εἰργάσατο.

751. ΘΝΗΤΟΣ ΩΝ. Θεοῦ γὰρ τὸ τοιοῦτον ἔργον. ΕΥΒΟΥΛΙΑι. Τῇ αὐτοῦ.

752. ΚΡΑΤΗΣΕΙΝ. Κυριεύσειν. ΠΩΣ ΤΑΔ'. Ἃ ἐποίησε.

753. ΠΟΛΥΣ ΠΛΟΥΤΟΥ ΠΟΝΟΣ. Ἤγουν ὃν πονήσας πολὺν πλοῦτον συνέλεξα.

754. ΑΝΘΡΩΠΟΙΣ. Ἀποροῦσιν ἐνταῦθα πῶς δοτικὴν λέγων τὸ ἀνθρώποις, καὶ δέον τῷ φθάσαντι εἰπεῖν, ὁ δὲ οὐχ οὕτως ἀλλὰ πρὸς δοτικὴν τοῦτο ἐπήνεγκεν ἀντὶ τοῦ φθάσαντι, φθάσαντος εἰπών. Καὶ φαμὲν ὅτε ἐποίκιλλε τὴν σύνταξιν. Ἐπειδὴ γὰρ ἀμφότερα λέγομεν, καὶ ἐγένετο τῷ δεῖνι ὁ ἐμὸς πλοῦτος ἁρπαγὴ, καὶ ἐγένετο τοῦ δεῖνος ἁρπαγὴ, συντάσσοντες καὶ πρὸς γενικὴν καὶ πρὸς δοτικὴν τὸ γίνεται, διὰ τοῦτο καὶ ὁ Αἰσχύλος, τῷ διπλῷ τῆς συντάξεως τὸν λόγον ἐποίκιλλεν.

758. ΕΝΔΟΝ. Τοῦ οἴκου. ΑΙΧΜΑΖΕΙΝ. Ἀφανίζειν.

761. ΣΦΙΝ. Τούτοις τοῖς συμβούλοις. ΕΡΓΟΝ. Ἡ τούτου καταβολή.

763. ΠΕΣΟΝ. Τὸ πέσσον, εἰ μὲν διὰ δύο σσ γράψεις, πρὸς τὸ ἔργον συνάψεις, τὸ δίκην κύβου τὰ πράγματα ταράξαν, ἔστι γὰρ ἀπὸ τοῦ πεσσάω πεσσῶν εἰς δεύτερον ἀόριστον· εἰ δὲ δι' ἑνὸς σ, πρὸς τὸ ἄστυ συντάξεις, νόει δὲ ἀντὶ τοῦ δυστυχῆσαν. Πτῶσις γάρ ἐστιν ἡ δυστυχία.

765. ΜΗΛΟΤΡΟΦΟΥ. Γράφεται καὶ μητρολόφου, ἤτοι πολεμικωτάτης, ἀπὸ μέρους τὸ πᾶν.

766. ΕΥΘΥΝΤΗΡΙΟΝ. Διεξαγωγόν.

767. ΣΤΡΑΤΟΥ. Τοῦ Περσικοῦ.

768. ΠΑΙΣ. Ἀρταφρένης. ΤΟΔ' ΕΡΓΟΝ. Τὸ βασιλεύειν. ΗΝΥΣΕ. Κατώρθωσε.

769. ΦΡΕΝΕΣ ΓΑΡ. Ἤγουν μετὰ συνέσεως πᾶν τὸ τῆς ψυχῆς αὐτοῦ βούλημα ἐξετέλει. ΟΙΑΚΟΣΤΡΟΦΟΥΝ. Ἐκυβερνῶν.

771. ΠΑΣΙΝ ΕΙΡΗΝΗΝ. Τελείως γὰρ οὗτος τὰ τῆς βασιλείας κατέστησε πράγματα, ὡς μηδένα ἔχειν τὸν ἀνθιστάμενον.

773. ΗΛΑΣΕ. Ἐκτήσατο.

774. ΗΧΘΗΡΕΝ. Ἐμίσησεν. ΩΣ. Ἐπεί.

775. ΠΑΙΣ. Ὁ Καμβύσης.

777. ΘΡΟΝΟΙΣΙ Τ' ΑΡΧΑΙΟΙΣΙ. Ἤγουν τῇ ἀρχαίᾳ τῶν Περσῶν βασιλείᾳ.

779. ΧΡΕΟΣ. Τὸ φονεῦσαι αὐτόν. Ὤφειλον γὰρ τῷ Ἀρταφρένῃ, ὡς φίλοι, πρὸς πάνθ' ὑπηρετεῖν αὐτῷ.

781. ΠΑΛΟΥ Δ' ΕΚΥΡΣΑ. Τοῦ κλήρου ἐπέτυχον.

783. ΠΟΛΕΙ. Τοῖς Σούσοις.

785. ΕΠΙΣΤΟΛΑΣ. Καὶ παραινέσεις καὶ συμβουλάς.

789. ΚΑΤΑΣΤΡΕΦΕΙΣ. Καθιστᾷς.

790. ΛΟΓΩΝ ΤΕΛΕΥΤΗΝ. Ἤγουν εἴς τι τῶν σῶν λόγων τέλος καθιστᾷ. ΕΚ ΤΟΥΤΩΝ. Ὧν λέγεις. ΕΤΙ. Εἰς τὸ ἑξῆς.

793. ΠΛΕΙΣΤΟΝ Ηι. Μήδ' εἰ πλείονα τῆς τῶν Περσῶν στρατίας κτήσεσθε.

794. Η ΓΗ. Ἡ Ἑλληνική.

796. ΚΤΕΙΝΟΥΣΑ ΛΙΜΩι. Σίτου γὰρ σπάνιν καὶ τῶν ἄλλων ἀναγκαίων ἔχει.

797. ΕΥΣΤΑΛΗ ΤΕ ΛΕΚΤΟΝ. Εὐσύνοπτον καὶ ἐκλελεγμένον.

798. Ο ΜΕΙΝΑΣ. Μετὰ Μαρδονίου.

802. ΠΑΥΡΟΙ. Ὀλίγοι.

803. ΘΕΣΦΑΤΟΙΣΙ. Τοῖς πάλαι περὶ ταύτης τῆς ἥττης δοθεῖσί μοι χρησμοῖς.

805. Κ' ΕΙΠΕΡ ΤΑΔ' ΕΣΤΙ. Ἤγουν, εἴπερ τοῦτο οὕτως ἔχει ὡς πάντα τὰ τῶν χρησμῶν πληροῦται.

806. ΛΕΙΠΕΙ. Καταλιμπάνει ὁ Ξέρξης ἐκεῖσε. ΚΕΝΑΙΣΙΝ ΕΛΠΙΣΙΝ. Ματαίαις ἐλπίσιν ὡς ἂν διὰ τοῦ πεζοῦ τὴν Ἑλλάδα χειρώσηται.

808. ΦΙΛΟΝ ΠΙΑΣΜΑ. Προσφιλὲς τοῖς ἐκεῖσε πότισμα.

810. ΥΒΡΕΩΣ. Τῆς κατὰ τῶν ἱερῶν καὶ τῶν ἄλλων. ΑΠΟΙΝΑ. Ἀμοιβάς. ΚΑΙ ΘΕΩΝ ΦΡΟΝΗΜΑΤΩΝ. Ἐπειδὴ ἀσεβὲς φρόνημα εἶχον, ἅτε ἱερὰ ἐμπιμπρῶντες καὶ τοὺς τάφους ἀνασκευάζοντες. Γράφεται καὶ δωρημάτων, ἤγουν ἃ ἀθέως τῇ Ἑλλάδι ἐπήγαγον.

812. ΣΥΛΑΝ. Πόρθειν καὶ ἀφανίζειν.

813. ΑΙΣΤΟΙ. Ἀφανεῖς. ΙΔΡΥΜΑΤΑ. Κατοικίαι.

814. ΦΥΡΔΗΝ. Ὁμοῦ.

817. ΚΡΗΠΙΣ. Στάσις καὶ τέλος. ΕΚΠΑΙΔΕΥΕΤΑΙ. Εἰς παιδείαν ἐκείνων αὐξάνεται τὰ κακά.

818. ΠΕΛΑΝΟΣ. Ῥύπος.

819. ΔΩΡΙΑΔΟΣ. Τῆς Πελοποννησιακῆς.

820. ΘΙΝΕΣ. Οἱ σωροί. ΤΡΙΤΟΣΠΟΡΩι ΓΕΝΕΙ. Τρίτῃ γενεᾷ.

821. ΑΦΩΝΑ. Οὐκ ἐκ λόγων ἀλλ' ἐκ μόνης τῆς θέας. ΣΗΜΑΝΟΥΣΙΝ. Δηλώσουσι.

822. ΥΠΕΡΦΕΥ. Ἄγαν καὶ μεῖζον ἀνθρώπου.

823. ΥΒΡΙΣ. Ἀλαζόνεια καὶ ἀσέβεια.

824. ΕΞΑΜΑι. Θερίζει.

825. ΤΩΝΔΕ. Ὧν ἐποίησαν καθ' ἱερῶν καὶ τῶν ἄλλων.

827. ΥΠΕΡΦΡΟΝΗΣΑΣ. Καταφρονήσας, παριδών. ΤΟΝ ΠΑΡΟΝΤΑ ΔΑΙΜΟΝΑ. Τὴν παροῦσαν νῦν Πέρσαις δυστυχίαν.

828. ΑΛΛΩΝ. Πραγμάτων. ΟΛΒΟΝ. Τὴν εὐδαιμονίαν ἣν εἶχε.

830. ΕΥΘΥΝΟΣ. Τιμωρός.

831. ΕΚΕΙΝΟΝ. Τὸν Ξέρξην. ΚΕΧΡΗΜΕΝΟΙ. Εἰς τὸ κεχρήμενοι ὑποστίξας, ἀντὶ τοῦ χρῄζοντες νοήσεις. Εἰ δὲ συνάψεις τοῦτο πρὸς τὸ εὐλόγοις νουθετήμασιν, ἀντὶ τοῦ χρησάμενοι, ὅθεν καὶ πρὸς τὸ λῆξαι, ὥστε ἔξωθεν λάβῃς.

832. ΠΙΝΥΣΚΕΤ'. Νουθετεῖτε.

833. ΘΕΟΒΛΑΒΟΥΝΤ'. Ἐκ θεῶν βλαπτόμενον, ἢ βλάπτοντα τοὺς θεούς.

837. ΛΑΚΙΔΕΣ. Σχίσματα.

838. ΣΤΗΜΟΡΡΑΓΟΥΣΙ. Διαῤῥήγνυνται.

842. ΕΝ ΚΑΚΟΙΣ. Ὄντες.

844. ΧΡΗΜΑΤ'. Πλοῦτος.

849. ΑΤΙΜΙΑΝ. Διαῤῥῆξιν.

850. ΑΜΠΕΧΕΙ. Περικαλύπτει.

855. ΠΟΛΙΣΣΟΝΟΜΟΥ. Καλλίστης ὑπαρχούσης πολιτικῆς.

856. ΕΠΕΚΥΡΣΑΜΕΝ. Ἐπετύχομεν. ΕΥΘ'. Τὸ εὖτε εἰ μὲν ἄνω συνάψεις,

ἐπικύρσαμεν γράψεις, εἰ δὲ κάτω, ἀπεκύρσαμεν, ὃ δὴ ςίξας, ἀρξάμενος ἀπὸ εὖτε, ὑποςίξεις πρὸς τὸ χώρας.

857. ΠΑΝΤΑΡΧΗΣ. Πᾶσι βοηθῶν. ΑΚΑΚΗΣ ΑΜΑΧΟΣ. Πρᾶος, εἰρηνικός. Ἢ, ὁ μὴ κακὴν καὶ δειλίαν ἔχων.

861. ΑΠΕΦΑΙΝΟΜΕΘ'. Τὸ ἀπὸ πρὸς τὸ εὐδοκίμυ σύναπτε, ἵν' ᾖ, ἀπὸ τῆς εὐδοκίμυ ςρατίας ἐφαινόμεθα καὶ ἔκδηλοι πᾶσιν ἦμεν τὰ ἐς πολέμυς. ΝΟΜΙΜΑ. Οἱ νόμοι.

862. ΤΑ ΠΥΡΓΙΝΑ ΠΑΝΤ'. Τὰς πόλεις πάσας. ΕΠΕΥΘΥΝΟΝ. Διώκυν.

863. ΝΟΣΤΟΙ. Αἱ ὑποςρόφαι.

866. ΟΣΑΣ. Πολλάς. ΕΙΛΕ. Ἔλαβε.

867. ΟΥ ΔΙΑΒΑΣ. Καὶ ὐ διελθών.

869. ΣΥΘΕΙΣ. Ὁρμηθείς.

871. ΑΧΕΛΩΙΔΕΣ. Παραθαλάσσιοι. Ἀχελώη γὰρ τὸ ὕδωρ κατὰ γλῶσσαν. ΠΑΡΟΙΚΟΙ. Πλησιόχωροι.

872. ΕΠΑΥΛΕΩΝ. Κατοικήσεων.

873. ΛΙΜΝΑΣ. Θαλάσσης. Τ' ΕΚΤΟΘΕΝ. Καὶ αἱ ἔξω τῆς θαλάσσης, ὅσαι εἰσὶ μεσήπειροι, ὡς καὶ μέχρι Ὑπερβορέων παρατεινάσης τῆς ἀρχῆς τῶν Περσῶν.

875. ΠΕΡΙ ΠΥΡΓΟΝ. Περὶ τεῖχος.

876. ΤΟΥΔ' ΑΝΑΚΤΟΣ. Τῦ Δαρείυ. ΑΙΟΝ. Ἤκυον.

878. ΕΥΧΟΜΕΝΑΙ. Φημιζόμεναι.

879. ΜΥΧΙΑ. Βαθεῖα· ἡ ἐν τῷ μυχῷ τῦ Ἑλλησπόντυ κειμένη.

881. ΜΕΤΑ. Κατά. ΠΡΩΝ'. Ἐξοχήν.

883. ΤΑιΔΕ ΓΑι. Τῇ περὶ τὸν Ἑλλήσποντον. ΠΡΟΣΗΜΕΝΑΙ. Προσκαθήμεναι.

884. ΛΕΣΒΟΣ. Νῆσος· ἤγυν ἡ Μιτυλήνη.

888. ΣΥΝΑΠΤΟΥΣ'. Πλησιάζυσα.

891. ΕΚΡΑΤΥΝΕ. Ἐδέσποζε. ΜΕΣΑΚΤΟΥΣ. Ἐπειδὴ τὰ κύκλῳ τῶν νήσων ἀκταί εἰσι, διά τῦτο μεσάκτυς τὰς νήσυς καλεῖ.

894. ΚΥΠΡΙΑΣ. Τὰς ἐν τῇ Κύπρῳ.

897. ΜΑΤΡΟΠΟΛΙΣ. Αἱ Ἀθῆναι.

898. ΣΤΕΝΑΓΜΑΤΩΝ. Τὸ νῦν πρὸς τὸ ςεναγματων σύναπτε.

899. ΕΥΚΤΕΑΝΟΥΣ. Πλησινήσυς ἢ πόλεις.

900. ΚΛΗΡΟΝ. Θέσιν.

901. ΕΚΡΑΤΥΝΕ. Ἐδέσποζε.

902. ΣΦΕΤΕΡΑΙΣ. Ἰδίαις.

903. ΑΚΑΜΑΤΟΝ. Θαυμαςὸν, μέγα. ΠΑΡΗΝ. Παρυπῆρχεν αὐτῷ, τῷ Δαρείῳ.

904. ΤΕΥΧΗΣΤΗΡΩΝ. Ὡπλισμένων.

905. ΕΠΙΚΟΥΡΩΝ. Βοηθῶν.

907. ΘΕΟΠΡΕΠΤΑ. Θεόπεμπτα.

910. ΠΛΑΓΑΙΣΙ ΤΕ. Ὑπὸ τῶν Ἀθηναίων.

ASHMOLEAN MUSEUM OXFORD

Ε΄.

912. ΣΤΥΓΕΡΑΣ. Λυπρᾶς. ΜΟΙΡΑΣ. Δυςυχίας.

913. ΑΤΕΚΜΑΡΤΟΤΑΤΗΣ. Ἀπροσδοκήτȣ.

914. ΩΣ. Λίαν. ΩΜΟΦΡΟΝΩΣ. Ἀπηνῶς. ΕΝΕΒΗ. Ἐνέσκηψε.

917. ΤΗΝΔ᾽ ΗΛΙΚΙΑΝ. Τȣ̀ς γέροντας.

919. ΤΩΝ ΟΙΧΟΜΕΝΩΝ. Τῶν φθαρέντων.

920. ΚΑΛΥΨΑΙ. Ἀφανίσαι.

921. ΣΤΡΑΤΙΑΣ. Ἕνεκα.

922. ΠΕΡΣΟΝΟΜΟΥ. Τῆς νενομισμένης τοῖς Πέρσαις.

923. ΚΟΣΜΟΥ. Ἕνεκα.

924. ΔΑΙΜΩΝ. Ἡ τύχη. ΑΠΕΚΕΙΡΕ. Ἠφάνισε.

925. ΓΑΙΑ. Ἡ Περσίς. ΑΙΑΖΕΙ. Θρηνεῖ. ΕΓΓΑΙΟΝ. Ἐγχώριον.

926. ΗΒΑΝ. Ἡλικίαν. ΞΕΡΞΑ. Ὦ. ΚΤΑΜΕΝΑΝ. Ἐμβληθεῖσαν. ΑιΔΟΥ ΣΑΚΤΟΡΙ. Ἄρει, δι᾽ ȣ̔̃ πληρȣ̃ται ὁ Ἅδης νεκρῶν. Ἤ, σάκτορι ἀντὶ τȣ̃ φθορᾷ.

928. ΦΩΤΕΣ. Ἄνδρες. ΧΩΡΑΣ. Τῆς Περσικῆς. ΑΝΘΟΣ. Τὸ καύχωμα.

929. ΤΟΞΟΔΑΜΑΝΤΕΣ. Πολεμικοί. ΦΥΣΤΙΣ ΜΥΡΙΑΣ. Ἤγȣν πολὺ ἀναβλάςησαν καὶ γένος ἀνδρῶν ἦσαν οἱ Ἀγδαβάται.

930. ΕΞΕΦΘΙΝΤΑΙ. Ἐφθάρησαν.

931. ΚΕΔΝΑΣ ΑΛΚΑΣ. Ἕνεκα τῆς ἀρίςης δυνάμεως τῶν Περσῶν.

933. ΑΙΝΩΣ. Λιάν.

934. ΕΠΙ ΓΟΝΥ ΚΕΚΛΙΤΑΙ. Τεταπείνωται καὶ καταβέβληται, ἐκ μεταφορᾶς τῶν μὴ δυναμένων ςῆναι διαπηρώσει σκέλȣς. Εἴληπται δὲ εἰς παροιμίαν.

935. ΟΔ᾽ ΕΓΩΝ. Ἤγȣν, ἀφορμὴ θρήνȣ πᾶσι γέγονα διὰ τὴν συμβᾶσαν ἐμοὶ συμφορὰν, καὶ τῇ πατρῴᾳ γῇ κακῶν αἴτιος γέγονα, δι᾽ ὧν τοσȣ̃τον πλῆθος ἀπώλεσα ἐν Ἑλλάδι. ΑΙΑΚΤΟΣ. Ποταπὸς θρηνητικός.

936. ΓΕΝΝΑι. Τῶν Περσῶν.

938. ΠΡΟΣΦΘΟΓΓΟΥ. Χαιρετιςικȣ̃. ΝΟΣΤΟΥ. Ὑποςροφῆς. Ἡ Σύνταξις, πέμψω σοι τὴν βοὴν τȣ̃ νόςȣ τȣ̃ πρόσφθογγȣ κακοφάτιδα ἰὰν καὶ βοὴν κακομέλετον Μαριανδινȣ̃ θρηνητῆρος, ἰαχὴν λέγω πολύδακρυν. Τȣτέςιν, ὥσπερ τȣ̀ς ἐξ ἀποδημίας ἰόντας προσφθέγγεσθαι δίκαιον ȣ̔̃τω καὶ ἐγὼ πρός σε πέμψω λόγȣς θρήνων καὶ κακῶν γέμοντας. Τὸ δὲ ἰὰν κακομέλετον Μαριανδινȣ̃ θρηνητῆρος, ἀντὶ θρῆνον ἀμελῆ καὶ ἄμȣσον, οἷος ὁ τȣ̃ Μαριανδινȣ̃ θρηνητῆρος, οἱ γὰρ Μαριανδινοὶ κακῶς καὶ ἀμȣ́σως θρηνȣ̃σιν. Εἴληπται δὲ εἰς παροιμίαν.

940. ΚΑΚΟΜΕΛΕΤΟΝ. Κακὸν καὶ ἄμȣσον μέλος ἔχȣσαν, ὡς θρηνώδη καὶ ἀπευκτήν.

945. ΙΕΤ᾽. Πέμπετε. ΑΙΑΝΗ. Σκοτεινὴν, ἢ κατηφείας πλήρη, ἐπειδὴ ἡ λύπη σκότισμα ἐπάγει καὶ κατήφειαν, διὰ τȣ̃το αἰανὴν εἶπεν.

946. ΔΥΣΘΡΟΟΝ. Δύσφημον. ΑΥΔΑΝ. Φωνήν.

947. ΔΑΙΜΩΝ. Ἤγȣν ἡ παρȣ̃σα δυςυχία.

948. ΜΕΤΑΤΡΟΠΟΣ. Ἐνάντιος· πρόσθεν γὰρ ηὐτύχουν νῦν δὲ καταβέβλημαι.

949. ΗΣΩ. Πέμψω. ΠΑΝΟΔΥΡΤΟΝ. Πάγκλαυτον μέλος ἤγουν ὡς πρώην εὐφήμουν σε οὕτως νῦν πανόδυρτον μέλος πέμψω πενθητῆρος. Σεβίζων καὶ διὰ θρήνου τιθεὶς τὰ λαοπαθῆ καὶ ἀλίτυπα βάρη τῇ γέννᾳ τῆς πόλεως, ἤγουν τὰ ἐν χέρσῳ καὶ θαλάσσῃ τοῖς Πέρσαις συμβάντα.

950. ΣΕΒΙΖΩΝ. Διὰ θρήνου τιμῶν.

951. ΑΛΙΤΥΠΑ ΤΕ ΒΑΡΗ. Τά τε ἐν τῇ θαλάσσῃ γινόμενα δυστυχήματα.

953. ΑΡΙΔΑΚΡΥΝ. Πολύδακρυν.

954. ΑΠΗΥΡΑ. Ἀφείλετο ἡμᾶς.

955. ΝΑΥΦΡΑΚΤΟΣ. Ναυτικός.

956. ΑΡΗΣ. Τῶν Ἀθηναίων. ΕΤΕΡΑΛΚΗΣ. Ἐπίθετον Ἄρεος.

957. ΝΥΧΙΑΝ ΠΛΑΚΑ. Τὴν Ψυτταλιάν. ΚΕΡΣΑΜΕΝΟΣ. Ἤτοι τεμὼν καὶ ἀφανίζων τοὺς ἐν αὐτῇ ὄντας Πέρσας.

958. ΑΚΤΑΝ. Τὴν Σαλαμῖνα.

959. ΠΑΝΤ'. Τὰ συμβάντα. ΕΚΠΕΥΘΟΥ. Ἐρώτα.

961. ΠΑΡΑΣΤΑΤΑΙ. Συνασπισταί.

974. ΕΥΠΑΤΩΡ. Εὐγενής.

980. ΣΤΥΓΝΑΣ ΑΘΗΝΑΣ. Στυγνὰς τὰς Ἀθήνας εἶπε διὰ τὴν ἐν αὐταῖς συμβᾶσαν αὐτῷ συμφοράν.

981. ΠΙΤΥΛΩι. Κτύπῳ, Πτώσει.

983. ΑΣΠΑΙΡΟΥΣΙ. Ψυχοῤῥαγοῦσι.

986. ΠΕΜΠΑΣΤΑΝ. Φορτίστην· συνάπτεται πρὸς τὸ Περσῶν.

988. ΤΟΥ ΣΗΣΑΜΑ. Οὗτοι πρόγονοι τούτου.

991. ΔΑΙΩΝ. Ἕνεκα τῶν πολεμικωτάτων τούτων ἀνδρῶν.

992. ΑΓΑΥΟΙΣ. Θαυμαστοῖς. ΠΡΟΚΑΚΑ. Δι' ὅλου κακά.

993. ΙΥΓΓΑ. Ἡδονὴν, χάριν.

994. ΕΤΑΡΩΝ. Φίλων.

995. ΑΛΑΣΤΑ. Ἀλάθητα. ΣΤΥΓΝΑ. Μισητὰ, λυπρά.

996. ΒΟΑι. Δυσχεραίνει καὶ στενάζει δι' ἐκείνων.

997. ΗΤΟΡ. Ἐμόν.

998. ΠΟΘΟΥΜΕΝ. Ἐρωτῆσαί σε.

Reliqua, quæ quidem sunt paucissima, ita vetustate exesa sunt aut evanida, ut nullo modo sensum ex iis elicere, et vix verbum quidem, nedum sententiam integram describere potuimus.

ΣΧΟΛΙΑ ΤΡΙΤΑ

ΠΕΡΙ ΜΕΤΡΩΝ ΟΙΣ ΕΧΡΗΣΑΤΟ Ο ΑΙΣΧΥΛΟΣ.

ΕΝ ΠΕΡΣΑΙΣ.

Α΄.

ϒ. 1. ΤΑΔΕ ΜΕΝ ΠΕΡΣΩΝ. Ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. Τὰ δὲ κῶλά εἰσιν, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα ξέ. Εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς, τὸ μέτρον τοῦτο ἐνήλλαξε. Καί εἰσι τὰ ἑξῆς κῶλα, ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ καὶ ἀκατάληκτα καὶ μονόμετρα μζ΄. Ὧν τὸ τελευταῖον, τροχαϊκὸν ἰθυφαλλικὸν διὰ τὰ ἑξῆς. Εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς, καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο. Καί εἰσι τὰ ἑξῆς κῶλα, τροχαϊκὰ δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ βραχυκατάληκτα, ἤτοι ἰθυφαλλικὰ καὶ ἀκατάληκτα κϛ΄. Ὧν τὸ παρατελευταῖον, ἀναπαιστικὸν, διὰ τὰ ἑξῆς πενθημιμερῆ· τὸ δὲ τελευταῖον, ἰθυφαλλικόν. Μετὰ δὲ τὸ β΄ κῶλον καὶ τὸ η΄, μόριόν τι κώλου τὸ ὀὰ τίθεται. Εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, τὸ πρῶτον αὖθις ἔλαβε μέτρον. Καί εἰσι τὰ ἑξῆς κῶλα, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ μονόμετρα ιέ. Ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δ΄ ὅμοιοι τοῖς ἑξῆς.

Β΄.

159. ΤΑΥΤΑ ΔΗ ΛΙΠΟΥΣ' ΙΚΑΝΩ. Ἡ εἴσθεσις μονοστροφικῆς περιόδου, εἰ δὲ βούλει, διπλῆς μερικῆς. Οἱ δὲ στίχοι εἰσὶ, τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ιζ΄.

176. ΠΟΛΛΟΙΣ ΜΕΝ ΑΙΕΙ. Ἡ εἴσθεσις μονοστροφικῆς περιόδου. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λθ΄· ὧν τελευταῖος, Σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.

215. ΟΥ ΣΕ ΒΟΥΛΟΜΕΣΘΑ, ΜΗΤΕΡ. Ἡ εἴσθεσις διπλῆς μερικῆς. Οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λδ΄· ὧν τελευταῖος, Καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

249. Ω ΓΗΣ ΑΠΑΣΗΣ. Εἴσθεσις ἑτέρα διπλῆς μερικῆς, στίχων καὶ κώλων μα΄. Εἰσὶ δὲ οἱ μὲν στίχοι τοῦ ὑποκριτοῦ, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· τὰ δὲ κῶλα τοῦ χοροῦ, ἀντισπαστικά.

256. ΑΝΙΑ, ΑΝΙΑ ΚΑΚΑ. Ἀντισπαστικὰ κῶλα, τὰ μὲν γ΄ ἡμιόλια, τὸ δὲ δ΄ πενθημιμερές. Ἔοικε δὲ στροφῇ.

286. ΣΤΥΓΝΑΙ Δ' ΑΘΗΝΑΙ. Ἀντισπαστικὰ κῶλα δ΄, ὅμοια τοῖς πρὸ αὐτῶν. Ἔοικε δὲ ἀντιστροφῇ.

290. ΣΙΓΩ ΠΑΛΑΙ ΔΥΣΤΗΝΟΣ. Εἴσθεσις διπλῆς καθόλυ ἐν μονοςροφικαῖς περιόδοις. Οἱ δὲ ςίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σμβ΄, ὧν τελευταῖος, Μὴ καί τι πρὸς κακοῖσι πρόσθηται κακόν.

532. ΑΛΛ', Ω ΖΕΥ ΒΑΣΙΛΕΥ, ΝΥΝ ΠΕΡΣΩΝ. Ὁ παρὼν χορὸς σύνεςηκεν ἐκ κώλων ξς΄. Ὧν τὰ μὲν ις΄ εἰσὶν ἀναπαιςικὰ, τὸ γ΄ καὶ τὸ η΄ μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ις΄ ἐφθημιμερές. Εἶτα εἰς ἑτέραν μεταβὰς ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξε. Καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ λς΄. Ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα· τὰ δὲ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ· τὰ δὲ ἡμιόλια· τὰ δὲ τρίμετρα βραχυκατάληκτα. Εἶτα πάλιν ἐνήλλαξε τὸ μέτρον, καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ ιδ΄, ἃ καλεῖται προσοδιακὰ, διὰ τὸ ἐκ χοριάμβυ καὶ ἰωνίυ ἀπ' ἐλάσσονος συγκεῖσθαι. Εἰσὶ δὲ τὰ μὲν πρῶτα δ΄ δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑξῆς γ΄ δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ. Τὰ τέτων ἑξῆς δ΄ δίμετρα ἀκατάληκτα, ὅμοια τοῖς πρώτοις. Τὰ δὲ ἑξῆς γ΄ ἑφθημιμερῆ πάλιν, ὧν τελευταῖον, Νᾶσος ἔχει τὰ Περσῶν.

Γ΄.

600. ΦΙΛΟΙ, ΚΑΚΩΝ ΜΕΝ. Ἡ μονοςροφικὴ αὔτη περίοδος ςίχων ἐςὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κε΄· ὧν τελευταῖος, Τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

625. ΒΑΣΙΛΕΙΑ ΓΥΝΑΙ. Ὁ παρὼν χορὸς συνέςηκεν ἐκ κώλων νη΄. Ὧν τὰ πρῶτα ι΄ εἰσὶν ἀναπαιςικά· τὸ μὲν δ΄ μονόμετρον· τὸ δὲ ε΄ καὶ ι΄ ἑφθημιμερῆ· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. Ἑξῆς δὲ τέτων μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, ἐνήλλαξε καὶ τὸ μέτρον. Καί εἰσι κῶλα ἀναπαιςικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ μονοςροφικὰ μη΄. Ὧν τελευταῖον, Νᾶες ἄναες ἄναες.

Δ΄.

683. Ω ΠΙΣΤΑ ΠΙΣΤΩΝ. Εἴσθεσις διπλῆς καθόλυ. Ἧς προτίθενται ςίχοι ἰαμβικοὶ ιγ΄. Ἑξῆς δὲ τέτων, κῶλα τῦ χορῦ ἀναπαιςικὰ γ΄· ὧν τὰ β΄ δίμετρα βραχυκατάληκτα. Τὸ δὲ γ΄ δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. Ἑξῆς τέτων ςίχοι τροχαϊκοὶ καταληκτικοὶ γ΄. Ἑξῆς τέτων κῶλα ὅμοια τοῖς ἄνω ἀναπαιςικὰ γ΄. Ἑξῆς δὲ ἔτι τέτων ἡ τελεία διπλῆ. Οἱ δὲ ςίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ νς΄, ὧν τελευταῖος, Τήνδ' ἐβύλευσεν κέλευθον καὶ ςράτευμ' ἐφ' Ἑλλάδα.

761. ΤΟΙΓΑΡ ΣΦΙΝ ΕΡΓΟΝ. Διπλῆ ἑτέρα ἐχομένη τῆς προτέρας διπλῆς. Οἱ δὲ ςίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϡγ΄, ὧν τελευταῖος, Οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

854. Ω ΠΟΠΟΙ, Η ΜΕΓΑΛΑΣ. Ὁ παρὼν χορὸς συνίςαται ἐκ κώλων νζ. Ὧν τὰ μὲν εἰσιν ἀναπαιςικὰ μονόμετρα ἀκατάληκτα, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἑφθημιμερῆ, ἤτοι δίμετρα καταληκτικὰ, ἃ καλεῖται παροιμιακά. Τὰ δέ εἰσιν ἰαμβικὰ δίμετρα ἀκατάληκτα· τὰ δὲ τροχαϊκὰ ἑφθημιμερῆ καὶ ἰθυφαλλικά· ὧν τελευταῖον, Πλαγαῖσι ποντίαισιν. Ὅπερ ἰαμβικόν ἐςιν ἑφθημιμερές.

Ε'.

911. ΙΩ, ΔΥΣΤΗΝΟΣ ΕΓΩ. Εἴσθεσις διπλῆς ἐν ἐκθέσει τῦ δράματος. Τὰ δὲ κῶλα τὰ μὲν εἰσιν ἀναπαιςικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ, καὶ βραχυκατάληκτα δίμετρα καὶ μονόμετρα· τὰ δὲ, τροχαϊκὰ ἑφθημιμερῆ καὶ πενθημιμερῆ· τὰ δὲ, ἰαμβικὰ δίμετρα ἀκατάληκτα καὶ τρίμετρα ἀκατάληκτα καὶ μονόμετρα· ὧν τελευταῖον καὶ παντὸς τῦ δράματος, Πέμψω σε δυσθρόοις γόοις. Ὅπερ ἰαμβικόν ἐστι δίμετρον ἀκατάληκτον. Καὶ ἑξῆς τάτε ἡ κορωνὶς ἡ τὸ δρᾶμα ἀποπερατῦσα.

931. ΑΙ ΑΙ ΚΕΔΝΑΣ ΑΛΚΑΣ. Τὰ β' ἀναπαιςικὰ δίμετρα βραχυκατάληκτα. Τὸ γ' μονόμετρον. Τό δε δ' πενθημιμερὲς ἐκ προκελευσματικῦ.

935. ΟΔ' ΕΓΩΝ. Τὰ β' ἑφθημιμερῆ, τὸ δὲ γ' δίμετρον ἐκ προκελευσματικῦ.

938. ΠΡΟΣΦΘΟΓΓΟΝ ΣΟΙ ΝΟΣΤΟΥ. Τὸ α' ἑφθημιμερὲς, τὰ ς' δὲ μονόμετρα, ἔχοντα καὶ πόδας προκελευσματικῦς.

945. ΙΕΤ' ΑΙΑΝΗΝ. Τὸ α' δίμετρον ἀκατάληκτον. Μονόμετρα δὲ τὰ γ'. Τὸ δ' δὲ ἐκ προκελευσματικῦ.

960. ΠΟΥ ΔΕ ΦΙΛΩΝ ΑΛΛΟΣ ΟΧΛΟΣ. Τροχαϊκὰ ς' ἑφθημιμερῆ· τὸ δὲ ζ' πενθημιμερές.

967. ΟΛΟΟΥΣ. Ἀναπαιςικὰ δ'. Τὰ γ' δίμετρα βραχυκατάληκτα, τὸ δ' πενθημιμερές.

971. ΠΟΥ ΔΕ ΣΟΙ ΦΑΡΝΟΥΧΟΣ. Τροχαϊκὰ ζ'. Τὰ μὲν δ' ἑφθημιμερῆ· τὰ δὲ β' δίμετρα ἀκατάληκτα· τὸ δὲ ζ' πενθημιμερές.

978. ΙΩ ΙΩ ΜΟΙ. Πενθημιμερὲς ἰαμβικόν.

979. ΤΑΣ ΩΓΥΓΙΑΣ. Ἀναπαιςικὰ δ'. Τὸ α' ἑφθημιμερές· τὰ γ' δίμετρα βραχυκατάληκτα.

993. ΙΥΓΓΑ ΜΟΙ ΔΗΤ' ΑΓΑΘΩΝ. Ἀναπαιςικὰ δίμετρα βραχυκατάληκτα ε'.

998. ΚΑΙ ΜΗΝ ΑΛΛΟ ΤΙ ΠΟΘΟΥΜΗΝ. Ἀναπαιςικὰ ζ'. Τὸ β' δίμετρον ἀκατάληκτον. Τὸ ε' μονόμετρον. Τὰ δὲ λοιπὰ ἑφθημιμερῆ.

1005. ΕΤΑΦΟΝ ΕΤΑΦΟΝ. Ἰαμβικὰ τρίμετρα βραχυκατάληκτα γ'. Τὸ δ' δίμετρον ἀκατάληκτον.

1009. ΙΗ ΙΗ, ΙΩ ΙΩ. Ἰαμβικὰ δ'. Τὰ γ' δίμετρα ἀκατάληκτα· τὸ δὲ δ' ἑφθημιμερές.

1014. ΠΕΠΛΗΓΜΕΘ' ΕΥΔΗΛΑ ΓΑΡ. Κῶλα ε'. Τὸ α' καὶ γ' καὶ δ' ἰαμβικὰ ἑφθημιμερῆ, περιοδικὰ καλῦμενα, διὰ τὸ ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας συγκεῖσθαι. Τὸ β', ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δὲ ε', ἀναπαιςικὸν ὅμοιον.

1019. ΠΩΣ Δ' ΟΥ ΣΤΡΑΤΟΝ. Ἰαμβικὰ δ'. Τὸ μὲν α' ἑφθημιμερὲς, τὰ δὲ γ' πενθημιμερῆ.

1023. ΟΡΑιΣ. Ἰαμβικὰ ε'. Τὸ α' τρίμετρον· τὸ ϐ' καὶ δ' μονόμετρα· τὸ γ' δίμετρον· τὸ ε' ἑφθημιμερές.

1028. ΒΑΙΑ Γ' ΩΣ ΑΠΟ ΠΟΛΛΩΝ. Τροχαϊκὰ ἰθυφαλλικά.

1039. ΛΥΠΡΑ, ΧΑΡΜΑΤΑ. Ἀναπαιστικὰ πενθημιμερῆ γ΄. Τὸ δὲ δ΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

1043. ΔΙΑΙΝΕ ΔΙΑΙΝΕ. Ἰαμβικὸν τρίμετρον.

1044. ΑΙ, ΑΙ, ΑΙ, ΑΙ. Ἰαμβικὰ δίμετρα ἀκατάληκτα δ΄.

1048. ΟΤΟΤΟΤΟΤΟΙ. Ἰαμβικὸν μονόμετρον ἐκ τριβράχυ.

1049. ΒΑΡΕΙΑ. Δίμετρα ὅμοια β΄.

1051. ΕΡΕΣΣ' ΕΡΕΣΣΕ. Ἰαμβικὸν τρίμετρον.

1052. ΔΙΑΙΝΟΜΑΙ. Ἰαμβικὰ δίμετρα ἀκατάληκτα δ΄.

1056. ΟΤΟΤΟΤΟΤΟΙ. Ἰαμβικὰ γ΄. Τὸ α΄ μονόμετρον ἐκ τριβράχυ· τὸ β΄ δίμετρον ἀκατάληκτον· τὸ δὲ γ΄ ἑφθημιμερές.

1074. ΙΩ ΙΩ ΠΕΡΣΙΣ. Τροχαϊκά.

1081. ΠΕΜΨΩ ΣΕ ΔΥΣΘΡΟΟΙΣ ΓΟΟΙΣ. Ἰαμβικὸν δίμετρον.

ÆSCHYLI

TRAGŒDIA

PERSÆ

EX INTERPRETATIONE LATINA EMENDATA

VIRI ILLUSTRIS

THOMÆ STANLEII:

EJUSDEM

COMMENTARIUS PERPETUUS

CUM ACCESSIONIBUS AMPLISSIMIS

AD FIDEM AUTOGRAPHI MS. NUNC PRIMUM EDITIS.

ARGUMENTUM ÆSCHYLI TRAGŒDIÆ

QUÆ INSCRIBITUR PERSÆ.

GLAUCUS in scriptis de Æschyli fabulis tradit Persas e Phœnissis Phrynichi fuisse concinnatos. Exhibet autem hoc fabulæ initium,

Hæc sunt Persarum olim profectorum.

Verum ibi Eunuchus nunciat Xerxem victum esse, cathedrasque sternit regni consiliariis. Hic autem præloquitur Chorus Seniorum. Ubi notandum quod in Choris aliqua sunt *Parodica*, ut ubi ostendit rationem ob quam huc venerit, quemadmodum fit in isto Euripidis,

Mare Tyrium relinquens.

Alia sunt *Stasima*, ut cum stat, et infelicitatem fabulæ enarrare incipit: alia denique *Commatica*, ubi reliquum in mœrore conficitur. Et est quidem scena fabulæ ad tumulum Darii; argumentum autem, Xerxes exercitum cum magnis copiis in Græciam ducens, equites innumerabiles, navesque mille ducentas et septem, vel quatuordecim, et terra quidem ad Platæas victus, mari vero ad Salaminem, unde per Thessaliam fugiens tranavit in Asiam. Ubi advertendum Græcos trecentas tantum naves habuisse. Prima Persarum expeditio sub Dario in campo Marathonio pessundata est: secunda sub Xerxe apud Salaminem et Platæas; cum Themistocles Atheniensium et dux esset et orator, navesque condere et adversus Xerxem copias instruere suaderet, unde et victores evaserunt. Apollo enim, cum ab eo Athenienses quærerent quo pacto Persas superarent, edixit mœnia lignea ut construerent, ita enim superiores fore. Et illi quidem lapideorum murorum loco ligneis urbem cingere decreverunt: at Themistocles aliter oraculum intellexit, suasitque naves conficere, quæ sæpe lateribus suis quasi muris homines tuentur. Sub Menone Æschylus tragœdias spectaculo præbens, Phineo, Persis, Glauco Potnieo, et Prometheo vicit. Hujusce Xerxis pater erat Darius rex Persarum, mater Atossa. Et observa

tres fuisse Darios. Quorum primus Hystaspis filius, a Persis prælatus, et in ipsos imperio potitus, qui etiam pater fuit Xerxis, qui Græcis bellum intulit. Secundus Artaxerxis pater, Syrus cognominatus, vel Nothus. Ultimus ille qui ab Alexandro Philippi filio debellatus est. Aliqui etiam quartum Darium fuisse perhibent.

Fabulæ Personæ.

CHORUS Seniorum.
ATOSSA.
NUNCIUS.
UMBRA Darii.
XERXES.

Prologum agit Chorus.

ÆSCHYLI TRAGŒDIA

PERSÆ.

ANAPÆSTI.

I. CHOR. NOS quidem Persarum profectorum
In Græciam dicimur fiduciarii,
Et divitum auroque abundantum
Sedium custodes, quos præ senectute
Ipse rex Xerxes imperator
Dario genitus
Elegit ad inspectandum regionem.
Verum de reditu regis
Exercitusque auro divitis
Male præsagiens valde tumultuatur
Intus animus.
Robur enim omne Asiaticum
Abiit, at juvenem virum clamore prosequitur *Asia*,
Et neque ullus nuntius, nec eques ullus
Urbem hanc Persarum adit.
Quique Susis et Ecbatanis
Et antiqua Cissina arce
Relictis, profecti sunt, partim equis,
Partim navibus, et pedites,
Belli molem præbentes.
Qualis Amistres, atque Artaphrenes
Et Megabazes atque Astaspes,
Persarum duces,
Reges regi magno subditi,
Proficiscuntur aciei numerosæ præfecti,
Arci-tenentes ac equites,
Terribiles quidem visu, atroces vero pugna
Obfirmato animi proposito.
Artembaresque equis gaudens
Et Masistres, arcuque domans
Strenuus Imæus, Pharandacesque,
Et equorum-agitator Sosthenes.
Alios vero magnus et multa alens

tres fuisse Darios. Quorum primus Hystaspis filius, a Persis prælatus, et in ipsos imperio potitus, qui etiam pater fuit Xerxis, qui Græcis bellum intulit. Secundus Artaxerxis pater, Syrus cognominatus, vel Nothus. Ultimus ille qui ab Alexandro Philippi filio debellatus est. Aliqui etiam quartum Darium fuisse perhibent.

Fabulæ Personæ.

CHORUS Seniorum.
ATOSSA.
NUNCIUS.
UMBRA Darii.
XERXES.

Prologum agit Chorus.

ÆSCHYLI TRAGŒDIA

PERSÆ.

ANAPÆSTI.

I. CHOR. NOS quidem Persarum profectorum
In Græciam dicimur fiduciarii,
Et divitum auroque abundantum
Sedium custodes, quos præ senectute
Ipse rex Xerxes imperator
Dario genitus
Elegit ad inspectandum regionem.
Verum de reditu regis
Exercitusque auro divitis
Male præsagiens valde tumultuatur
Intus animus.
Robur enim omne Asiaticum
Abiit, at juvenem virum clamore prosequitur *Asia*,
Et neque ullus nuntius, nec eques ullus
Urbem hanc Persarum adit.
Quique Susis et Ecbatanis
Et antiqua Cissina arce
Relictis, profecti sunt, partim equis,
Partim navibus, et pedites,
Belli molem præbentes.
Qualis Amistres, atque Artaphrenes
Et Megabazes atque Astaspes,
Persarum duces,
Reges regi magno subditi,
Proficiscuntur aciei numerosæ præfecti,
Arci-tenentes ac equites,
Terribiles quidem visu, atroces vero pugna
Obfirmato animi proposito.
Artembaresque equis gaudens
Et Masistres, arcuque domans
Strenuus Imæus, Pharandacesque,
Et equorum-agitator Sosthenes.
Alios vero magnus et multa alens

Nilus misit: Susiscanes,
Pegastagon Ægypto natus,
Et qui sacræ Memphidi præest
Magnus Arsames, quique antiquas
Thebas regit Ariomardus.
Et paludicolæ navium remiges
Periti, multitudoque innumera.
Molliter-degentium sequitur Lydorum
Turba, et qui plane in continente genitam
Obtinent gentem, illis Metragathes
Et Arceus bonus, reges præfecti,
Et divites Sardi vectos
Multis curribus emittunt,
Bijugos et trijugos ordines,
Visu terribile spectaculum.
Instant vero sacri Tmoli vicini
Jugum servile injicere Græciæ,
Mardon, Tharybis, hasta indefatigabiles,
Et jaculatores Mysi. Babylon vero
Auro dives miscellaneam turbam
Mittit tractim, et navibus vectos
Atque arcum-tenendi arte confisos.
Ensiferque populus ex omni
Sequitur Asia,
Timendo regis edicto.
Talis flos virorum Persicæ
Terræ proficiscitur,
Quos omnis tellus Asiatica
Cum aluerit, flagrante desiderio gemit:
Parentes et uxores [1] per singulos dies numeratum
Ad protractum tempus contremiscunt.

ANTISTROPHICA.

STROPHE.

Jam quidem transiit captor urbium
Regius exercitus in
Oppositam vicinam regionem,

[1] MS. Singulos dies numerantes.

Funibus vincta rate
Fretum trajiciens
Athamantidis Helles,
Cum multiclavum pontem
Veluti jugum injecisset cervici maris.

ANTISTROPHE.

Populosæ Asiæ bellicosus princeps
In omnem terram gregem
Divinum, *immensum*, agit
Bifariam, terrestribus
Et maritimis *copiis*
Firmis confisus
Asperis ducibus,
[2] Aurigenæ stirpis deo æqualis vir.

ANAPÆSTI.

[3] Verum cæruleo oculis intuens
Aspectu trucis draconis,
Magna manu et numerosa classe *instructus*
Syriumque currum impellens,
Adducit in hastatos viros
Arcipotentem Martem.
Neque quisquam expectandus qui possit obsistere
Ingenti virorum torrenti,
Et munimentis firmis propellere
Inexpugnabilem fluctum maris.
Non sustinendus enim Persarum
Exercitus magnanimusque populus.
„ Dolosam vero fraudem Dei
„ Quis vir mortalis evitabit,
„ Quis cito saltu pedis,
„ Agilis exiliat?
„ [4] Amica enim et blandiens

[2] MS. E generatione aurea, *h. e. ex stirpe nobilissima.*

[3] MS. Et intuens cæruleo, *h. e. horribili* et mavortio aspectu crudelis draconis.

[4] MS. Amica enim *Parca.*

„ Primum, inducit
„ Mortalem in laqueos
„ Unde non datur homini
„ Evitando effugere.

ANTISTROPHICA.

STROPHE 1.

„ [5] Divinitus enim imperavit
„ Fatum a seculo,
Persis autem in animum induxit
Bella turribus inimica
Administrare, et conflictus equitum delicias,
Urbiumque eversiones.

ANTISTROPHE 1.

Didicerunt vero vasti
Maris, albicantis
Flamine rapido
Aspicere marinum nemus,
Freti tenuiter-textis rudentibus,
Et populum-transfretantibus machinis.

STROPHE 2.

Propter hæc mens mihi
Lugubris metu pungitur,
[6] Heu Persici hujus exercitus,
Ne qua intelligat civitas
Vacuam viris urbem
Magnam Susidis.

ANTISTROPHE 2.

[7] Et urbs Cissina
Pari cum luctu cadat.

[5] MS. Nam divinitus parca obtinuit victorias antiquitus. *H. e. Nam quod hactenus feliciter bella gesserant Persæ, id Dei auxilio factum est.*

[6] MS. O Persicum hunc exercitum! Ne audiat urbs quod magnum oppidum Susianæ regionis viris est exhaustum.

[7] MS. Quod si eveniat, urbs Cissina mutuum luctum resonabit.

Et verbum isthoc, heu, plena mulierum
Caterva ululet,
In byssinosque peplos
Cadat scissura.

STROPHE 3.

Omnis enim equestris
Et pedestris populus,
Examen veluti apum,
Reliquit urbem cum principe
Exercitus, utrinque-junctum
Trajiciens marinum
Promontorium, utrique commune continenti.

ANTISTROPHE 3.

Lecti vero præ virorum desiderio
Implentur lachrymis,
Persidesque impense tristes:
Unaquæque desiderio conjugali
Hastatum belli cupidum
Maritum cum dimisisset,
Relinquitur solitaria.

ANAPÆSTI.

Sed agite Persæ sedentes
In hac antiqua domo,
Probam et profundi consilii curam
Geramus, exigit enim necessitas:
[8] Quomodo rem gerit Xerxes rex

